nobicum Nili ostium, ut prius memoravimus. Nostrum igitur mare conjunctum oceano occidentali per fretum Herculeum has tres continentes circumscribit in hunc modum. Europæ quidem, sinubus ejus qui ad nostrum mare patent circumnavigatis, regio maritima incipit a Tanaï fluvio, et desinit ad fretum Herculeum et Gades insulam : et universus ejus periplus est stadiorum 39,000. Libyæ autem præternavigatio a Tingi civitate usque ad Canobicum Nili ostium est stadiorum 40,280. Asiæ vero cum Ægypto præternavigatio a Canobico Nili ostio usque ad flumen Tanaïm est stadiorum 60,120.

ἡμᾶς ἐστιν, ἥ τε τῆς Εὐρώπης, καὶ τῆς Λιβύης, καὶ τῆς Ἀσίας, στάδια ιγ͵θυ΄. Ἔστι δὲ πρώτη μὲν τῶν ἠπείρων μεγέθους ἕνεκεν ἡ Ἀσία, δευτέρα δὲ ἡ Λιβύη, τρίτη δὲ ἡ Εὐρώπη. Τῶν δὲ τριῶν θαλασσῶν τῷ μεγέθει τυγχάνει πρώτη μὲν ἡ κατὰ τὸ Ἰνδικὸν πέλαγος· δευτέρα δὲ ἡ καθ' ἡμᾶς, ἡ μεταξὺ Λιβύης καὶ Εὐρώπης, ἀρχομένη μὲν ἀπὸ Γαδείρων, ἤτοι τοῦ Ἡρακλείου πορθμοῦ, διήκουσα δὲ μέχρι τῆς Ἀσίας· τρίτη δὲ ἡ Ὑρκανία. Μέγεθος δὲ τῆς οἰκουμένης, τὸ μὲν ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν ἀναμετρεῖται [1] σταδίων ζ͵ηφμε΄ [2]· τοῦτο δέ ἐστι τὸ ἀπὸ Γάγγου ποταμοῦ ἐκβολῶν, τοῦ ἐν Ἰνδοῖς ἀνατολικωτάτου ποταμοῦ, ἐπὶ τὸ δυτικώτατον τῆς ὅλης οἰκουμένης ἀκρωτήριον, ὃ καλεῖται μὲν Ἱερὸν ἄκρον,

[1] ἀναμετρῆται cod. — [2] σταδίων μ. ζ. ηφμε΄. Huds.

Universa igitur regio Europæ et Libyæ, et Asiæ, quam mare nostrum alluit, est stadiorum 139,400. Ex [tribus] autem continentibus magnitudine quidem Asia est prima; sed proxima Libya : tertia vero Europa. At inter tria maria magnitudine primum est illud, cui [ab ortu] continuum est Indicum pelagus; secundum vero nostrum, quod interfluit Europam et Libyam, incipiens quidem a Gadibus sive freto Herculeo, et usque ad Asiam pertingens; sed tertium Hyrcanium. Terræ autem habitabilis magnitudo ab ortu quidem ad occasum computatur esse stadiorum 78,545. Hæc vero est, ab ostiis Gangis fluvii, qui fluviorum apud Indos maxime orientalis est, usque ad maxime occidentale totius orbis habitabilis promontorium, quod Sacrum appellatur :

τῆς δὲ Ἰϐηρίας ἐστὶ τῶν Λυσιτανῶν ἔθνους. Τοῦτο [1] δὲ Γαδείρων, ἤτοι τῶν Ἡρακλέους [2] στηλῶν, δυτικώτερον [3] τυγχάνει ὡς στάδια γ [4]. Τοῦ δὲ πλάτους ἡ εὐθεῖα, ἡ πλατυτάτη τυγχάνει οὖσα, ἀναμεμέτρηται δγξ'· τοῦτο δέ ἐστιν ἀπὸ μεσημϐρίας [5] ἐπὶ τοὺς ἄρκτους, οἷον ἀπὸ τῆς Αἰθιοπικῆς θαλάσσης μέχρι Θούλης τῆς νήσου. Τῶν δὲ μεγίστων κόλπων, πρῶτος μέν ἐστιν ὁ Γαγγητικὸς [6], δεύτερος δὲ ὁ Περσικὸς, τρίτος δὲ ὁ καλούμενος οὕτω Μέγας, τέταρτος δὲ ὁ Ἀράϐιος, πέμπτος δὲ ὁ Αἰθιοπικὸς, ἕκτος δὲ ὁ τοῦ Πόντου, ἕϐδομος δὲ ὁ τοῦ Αἰγαίου [7] πελάγους, ὄγδοος δὲ ὁ τῆς Μαιώτιδος λίμνης, ἔνατος δὲ ὁ Ἀδρίας ἤτοι Ἰώνιος κόλπος, δέκατος δὲ ὁ τῆς Προποντίδος. Τῶν δὲ μεγίστων νήσων ἡ

[1] τούτου δὲ Huds. — [2] Ἡρακλείους cod. — [3] δυτικώτατον Huds. — [4] στάδια θ'. Huds. — [5] μεσιμϐρίας cod. — [6] Γαγγιτικὸς cod. — [7] Ἐγέου cod.

provinciæ autem est Lusitanicæ in Iberia. Verum hoc magis ad occidentem vergit quam Gades, aut columnæ Herculeæ, circa stadia 3,000. Latitudo autem secundum rectam lineam, quæ maxima, est stadiorum 43,060. Hæc vero est, a meridie ad septentrionem, veluti ab Æthiopico oceano ad insulam Thulem. Verum maximorum sinuum primus quidem est Gangeticus; secundus autem Persicus; tertius vero qui Magnus appellatur; quartus Arabicus; quintus Æthiopicus; sextus qui Ponti est; septimus vero qui maris Ægæi; octavus qui paludis Mæotidis; nonus autem Adriaticus sive Ionius; decimus vero qui Propontidis est. Insularum autem,

χεῤῥονήσων [1], *καὶ τῆς πρώτης τάξεως, πρώτη μὲν ἡ Ταπροβάνη νῆσος ἡ Παλαισιμούνδου* [2] *καλουμένη πρότερον, νῦν δὲ Σαλική· δευτέρα δὲ τῶν Βρεταννικῶν ἡ Ἀλβίων, τρίτη δὲ ἡ Χρυσῆ χεῤῥόνησος* [3], *τετάρτη δὲ τῶν Βρεταννικῶν ἡ Ἰουερνία, πέμπτη δὲ ἡ Πελοπόννησος* [4], *ἕκτη δὲ ἡ* [5] *Σικελία, ἑβδόμη δὲ ἡ Σαρδὼ, ὀγδόη δὲ ἡ Κύρνος* [6], *ἐννάτη Κρήτη, δεκάτη Κύπρος· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον· ἐπὶ δὲ τὰ προκείμενα μεταβησόμεθα. Ἀρξόμεθα δὲ τοῦ περίπλου, καθὰ προειρήκαμεν, ἀπὸ τοῦ Ἀραβίου κόλπου καὶ τοῦ μυχοῦ αὐτοῦ καλουμένου Αἰλανίτου* [7]*· ἔνθα μάλιστά ἐστιν, ὡς προείρηται, καὶ τὸ στενώτατον τῆς ἠπείρου, καὶ διεῖργον τὸ μὴ συνάψαι τὴν καθ' ἡμᾶς θάλασσαν τῷ Ἀραβίῳ μυχῷ. Οὗτος*

[1] *χερσονήσων* cod. — [2] *Πάλαι Σημουνδοῦ* cod. *Πάλαι σιμούνδου* Huds. — [3] *Χρύση χερσόνησος* cod. et Huds. — [4] *Πελοπόνησος* cod. — [5] *ἕκτη δὲ Σι.* cod. — [6] *ὀγδόη δὲ Κύρνη* cod. — [7] *Ἀτλαντίου* cod. et Huds.

sive peninsularum maximarum, primique ordinis, præcipua est Taprobana insula, quæ Palæsimundi prius erat appellata, nunc vero Salice; secunda Albion Britannicarum una; tertia Aurea Chersonesus; quarta Ivernia Britannicarum altera; quinta Peloponnesus; sexta Sicilia; septima Sardinia; octava Corsica; nona Creta, decima Cyprus; atque hæc quidem hactenus, nunc vero ad rem propositam transibimus. Periplum autem, ut ante diximus, exordiemur a sinu Arabico, et recessu ejus qui Ælaniticus appellatur; ubi, ut prius dictum, pars est continentis angustissima, mare nostrum dirimens a secessu Arabico. Hic vero recessus vicinus est

δὲ ὁ μυχὸς γειτνιῶν τυγχάνει τῇ τε Αἰγύπτῳ καὶ τῇ Πετραίᾳ καλουμένῃ Ἀραβίᾳ, ἥτις τῇ λεγομένῃ Ἰουδαίᾳ συνάπτει, ἧς Παλαιστίνη τὸ ἔθνος ἐστὶ πρὸς τῇ καθ' ἡμᾶς κείμενον θαλάσσῃ. Ἔστι γὰρ ἀπὸ Γάζης τῆς ἐν Παλαιστίνῃ πόλεως ἐπὶ τὸν μυχὸν τοῦ Ἀραβίου κόλπου, καὶ τὸν προειρημένον Αἴλαν [1], πεζῇ πρὸς τὴν μεσημβρίαν τῆς πορείας [2] γινομένης, στάδια ͵ασξ'. Τῶν μὲν οὖν ἀριστερῶν τῆς Ἀσίας μερῶν, τουτέστι, τῆς τε Ἀραβίας τῆς Εὐδαίμονος καὶ τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ μετ' ἐκείνην τοῦ Περσικοῦ κόλπου, καὶ τοῦ Ἰνδικοῦ πελάγους παντὸς, ἄχρι τῶν Σινῶν [3] τοῦ ἔθνους, καὶ τοῦ πέρατος τῆς ἐγνωσμένης γῆς τὸν ἀκριβέστατον ποιησόμεθα περίπλουν, καὶ τὴν τῶν σταδίων ἀναμέτρησιν. Τῶν δὲ δεξιῶν τῶν τῆς Λιβύης μερῶν μέχρι τοῦ καλουμένου

[1] Μύλαν cod. et Huds. — [2] μεσιμβρίαν τῆς πορίας cod. — [3] τοῦ Σινῶν cod. et Huds.

Ægypto, et Arabiæ quæ Petræa appellatur et contigua est Judææ, cujus provincia Palæstina nostro mari adjacet. A Gaza enim Palæstinæ urbe ad intimum sinus Arabici recessum et prædictum [sinum] Ælanitem, si quis iter pedestre contenderet ad meridiem, stadia sunt 1,260. Sinistrarum itaque Arabiæ partium, hoc est, Arabiæ Felicis et Rubri maris, et dein sinus Persici, et totius Indici pelagi, usque ad Sinarum gentem, et terminos terræ cognitæ, periplum quam accuratissimum faciemus, [adjicientes] etiam stadiorum dimensionem. In partibus autem quæ ad dextram Libyæ sunt, usque ad promontorium Prasum appellatum, et insulam Me-

Πράσου ἀκρωτηρίου, καὶ τῆς Μενουθιάδος [1] νήσου, τὰς μὲν προσηγορίας τῶν πόλεων καὶ τῶν ἐπινείων δηλώσομεν· ἔτι μὲν τῶν θαλασσῶν καὶ τῶν κόλπων καὶ τῶν ἀκρωτηρίων, καὶ τῶν νήσων τὰς ὀνομασίας σημανοῦμεν [2]· διὰ μακροῦ δὲ τοῖς διαστήμασι τὸν ἀριθμὸν τῶν σταδίων προσθήσομεν. Τούτων μὲν γὰρ τῶν δεξιῶν μερῶν ἐπιδρομή ἐστιν, ἃ διὰ τῆς [3] ἀναμετρήσεως πεποιήμεθα σαφῆ, μιᾶς ἕνεκα τῆς θέσεως τῆς τε γῆς καὶ τῆς θαλάσσης, ἥνπερ [4] ἔχει πρὸς τὴν ἀντίπερα τῆς Ἀσίας χώρας, τουτέστι τῶν τε Ἀράβων, καὶ τῶν Ἰνδῶν, καὶ τῶν ἄλλων ἐθνῶν· τῶν δὲ ἀριστερῶν μερῶν μετὰ τῆς προειρημένης [5] ἐπαγγελίας τὸν περίπλουν σπουδῇ [6] ἐποιησάμεθα.

[1] *Μερουνιάδος* cod. et Huds. — [2] *σημαινοῦμεν* cod. et Huds. — [3] *ἃ τῆς ἀν.* cod. et Huds. — [4] *ὅπερ* cod. et Huds. — [5] *προειρημένοις* Huds. — [6] *σπουδὴν* cod.

nuthiada, nomina urbium et navalium indicabimus, insuper et marium, et sinuum, et promontoriorum, et insularum : longioribus vero distantiis numerum stadiorum apponemus. Atque hæc quidem percursatio est dextrarum partium, quas dimensione manifestas faciemus, præcipue gratia situs terræ et maris cum respectu ad oppositas Asiæ regiones, hoc est, Arabum, et Indorum, et aliarum gentium : partium vero ad sinistram, ut prius polliciti sumus, periplum diligenter scripsimus.

ΤΩΝ ΔΕΞΙΩΝ ΜΕΡΩΝ ΤΟΥ ΤΕ ἈΡΑΒΙΟΥ ΚΟΛΠΟΥ ΚΑΙ ΤΗΣ ἘΡΥΘΡΑΣ ΘΑΛΑΣΣΗΣ ΚΑΙ ΤΟΥ ἸΝΔΙΚΟΥ ΠΕΛΑΓΟΥΣ ΠΕΡΙΠΛΟΥΣ.

Ἡ τοίνυν θέσις καὶ περιγραφὴ τῶν δεξιῶν τῆς Λιβύης μερῶν, τοῦτον ἔχει τὸν τρόπον. Χρὴ γὰρ πρὸ τῶν κατὰ μέρος τὰς καθ' ὅλου προσηγορίας καὶ τὴν θέσιν δηλῶσαι τῶν τόπων. Πλέοντι γὰρ τὸν Ἀραβικὸν κόλπον ὡς πρὸς μεσημβρίαν μετρίως πρὸς τὴν ἕω παρεπιστρέφοντι, καὶ δεξιὰν ἔχοντι τὴν ἤπειρον, πρώτη μέν ἐστιν ἡ Αἴγυπτος, μέρει[1] τινὶ γειτνιῶσα τῷ κόλπῳ· τούτῳ δὲ παροικοῦσιν Ἀραβαιγύπτιοι Ἰχθυοφάγοι. Μετὰ δὲ ταύτην ἡ Τρωγλοδυτικὴ[2] ἐπιπλεῖστον ἐκτεινομένη· παρήκει γὰρ παρά τε αὐτὸν τὸν

[1] μέχρι τινὶ cod. — [2] Τρωγλοδικὴ cod.

2. PARTIUM DEXTRARUM SINUS ARABICI, RUBRI MARIS, ET INDICI PELAGI PERIPLUS.

Situs igitur et descriptio dextrarum Libyæ partium ad hunc modum se habet. Oportet enim generales appellationes et situm locorum prius indicare, quam sigillatim recensere. Nam si quis sinum Arabicum naviget quasi meridiem versus, leniter flectens ad ortum, et a dextra continentem habeat, primum se offert Ægyptus, aliqua sui parte sinui [Arabico] contermina; huic autem adjacent Arabes Ægyptii Ichthyophagi. At supra hanc [Ægyptum] regio Troglodytica latissime extensa: protenditur enim juxta ipsum sinum Arabicum et Ru-

Ἀράβιον κόλπον, καὶ παρὰ τὴν Ἐρυθρὰν θάλασσαν· μετὰ δὲ τὸ στόμα τοῦ Ἀραβίου κόλπου ἑξῆς ἐστιν ἡ Ἐρυθρὰ θάλασσα. Περιπλέοντι τοίνυν ταύτην, καὶ ὁμοίως ἐν δεξιᾷ τὴν γῆν ἔχοντι, ἐκδέχεται μὲν ὁ αὐτὸς κόλπος ἐν τοῖς δεξιοῖς μέρεσι τῆς Ἐρυθρᾶς τυγχάνων θαλάσσης· παροικοῦσι δὲ ταύτῃ οἵ τε προειρημένοι Τρωγλοδύται [1], καὶ οἱ Αὐαλῖται [2], καὶ προσέτιγε οἱ Μόσυλοι [3] τὰ ἔθνη. Ἐκπλεύσαντι δὲ τὸν κόλπον, καὶ τὴν Ἐρυθρὰν θάλασσαν, ἠρέμα πως μετὰ τὸν κόλπον κατὰ τὸ ἀκρωτήριον στενουμένην [4], ἐκδέχεται τὸ Ἰνδικὸν πέλαγος ἀναπεπταμένον ἐπὶ πολύ· καὶ τῷ μὲν μήκει διῆκον [5] πρὸς τὴν ἕω καὶ τὰς ἀνατολὰς τοῦ ἡλίου μέχρι Σινῶν τοῦ ἔθνους, ὅπερ ἐπὶ τέλει τῆς οἰκουμένης τυγχάνει κείμενον [6] κατὰ τὴν πρὸς ταῖς ἀνατολαῖς ἄγνωστον γῆν·

[1] Τρωγλοδύται Huds. — [2] Αὐλῖται cod. ἢ Αὐλίται Huds. — [3] Μοσσουλοὶ cod. et Huds. — [4] στενομένην Huds. — [5] δίηκον Huds. — [6] κειμένῳ cod.

brum mare : nam ostio sinus Arabici continuum est Rubrum mare. Hoc igitur [mare] circumnavigantem, et similiter terram a dextra habentem excipit idem ille sinus, cui dextram versus est Rubrum mare : hoc autem [mare] accolunt prædicti Troglodytæ, et Aualîtæ, insuperque Mosyli populi. Egredienti autem sinum [Arabicum] et Rubrum mare (paulatim post sinum hunc juxta promontorium in angustias coactum) occurrit Indicum pelagus, in immensum porrectum : et longitudine quidem pertingens ad orientem solisque exortus usque Sinarum gentem, quæ ad extrema orbis habitabilis jacet juxta terram orientalem incognitam :

τῷ δὲ πλάτει πρὸς μεσημβρίαν ἀναχεόμενον[1] ἐπὶ πλεῖστον, μέχρι τῆς ἑτέρας ἀγνώστου γῆς τῆς κατὰ τὴν μεσημβρίαν[2] ὑπαρχούσης[3]· καθ' ἣν καὶ ἡ Πρασώδης καλουμένη διατείνει[4] θάλασσα παρ' ὅλην[5] τὴν μεσημβρινὴν ἄγνωστον γῆν, μέχρι τῆς ἕω, τοῦ μὲν Ἰνδικοῦ πελάγους ὑπάρχουσα[6], ταύτην δὲ διὰ τὴν χροιὰν λαχοῦσα τὴν προσηγορίαν. Μετὰ τὴν Ἐρυθρὰν τοίνυν θάλασσαν κάμψαντι πρὸς τὴν μεσημβρίαν καὶ ὁμοίως ἐν δεξιᾷ τὴν γῆν ἔχοντι, τό τε ὄρος ὁ Ἐλέφας τυγχάνει κείμενον, καὶ ἡ Ἀρωματοφόρος χώρα· μεθ' ἣν ἐκδέχεται τὸ ἔθνος τὸ λεγόμενον Βαρβαρικὸν, καὶ τὸ Βαρβαρικὸν καλούμενον πέλαγος, ἐν ᾧ κόλποι τε πλείους εἰσὶ, καὶ οἱ δρόμοι τῆς καλουμένης Ἀζανίας. Καὶ πρῶτος μὲν

[1] ἀναχεομένην cod. et Huds. — [2] τὴν μεσημβρίας Huds. — [3] ὑπάρχουσαν cod. et Huds. — [4] διατείνη cod. — [5] περὶ ὅλην Huds. — [6] ὑπάρχουσαν cod. et Huds.

latitudine vero ad meridiem versus maxime diffusum, usque ad alteram terram incognitam, quæ meridiei subjacet; juxta quam et mare Prasodes appellatum (Indici quidem pelagi pars, hoc vero cognomen sortitum a colore) extenditur circa totam terram meridionalem incognitam usque ad orientem. Post Rubrum igitur mare versus meridiem flectenti, et similiter a dextra terram habenti objacet mons Elephas, et regio Aromatifera : post quam sequitur provincia Barbarica appellata, et pelagus Barbaricum dictum, in quo plures sunt sinus et dromi (hoc est cursus) Azaniæ, quæ sic vocatur. Et ex sinubus quidem insignioribus primus in

τῶν ἐπισήμων κόλπος ἐστὶν ἐν αὐτῷ ὁ καλούμενος Ἀπόκοπα· εἶθ' ἑξῆς μικρὸς αἰγιαλὸς καὶ μέγας, μεθ' οὓς ἕτερος κόλπος μέγας μέχρι τοῦ Ῥάπτου ἀκρωτηρίου. Μετὰ δὲ ταῦτα ἡ λεγομένη Βραχεῖα θάλασσα, καὶ ὁ περὶ αὐτὴν μέγιστος κόλπος, ὅνπερ οἰκοῦσι βάρβαροι Ἀνθρωποφάγοι. Ἐν δὲ τῷ τέλει τοῦ κόλπου κεῖται τὸ μέγιστον ἀκρωτήριον, ὃ καλεῖται Πράσον ἄκρον, καὶ ἡ Μενουθίας [1] νῆσος, οὐ πόῤῥω τοῦ ἀκρωτηρίου τυγχάνουσα. Καὶ ἡ μὲν ὅλη θέσις καὶ περιγραφὴ τῶν δεξιῶν μερῶν τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ προσέτιγε τοῦ Ἰνδικοῦ πελάγους τοῦ πρὸς τὴν μεσημβρίαν [2] ἀποκλίνοντος, τοῦτον ἔχει τὸν τρόπον. Τὰ δὲ κατὰ μέρος οὕτω πως ἔχει.

[1] Μενουνθίας cod. Μενουνθίας νήσου Hnds. — [2] μεσιμβρίαν cod.

ipso est, qui nuncupatur Apocopa; exinde ordine parvum littus et magnum; tum et alter sinus immensus usque Rhaptum promontorium. Post hæc vero mare quod Breve dicitur, et maximus circa ipsum sinus quem accolunt barbari Anthropophagi. In extremo autem sinus hujus maximum est promontorium quod appellatur Prasum, et insula Menuthias, non longe a promontorio distans. Atque generalis quidem situs et descriptio dextrarum partium et sinus Arabici, et Rubri maris, præterea et Indici pelagi, quod meridiem versus excurrit, ad hunc modum se habet. Quæ particulatim vero recensenda veniunt, hoc fere modo.

ΤΩΝ ἈΡΙΣΤΕΡΩ͂Ν ΜΕΡΩ͂Ν ΤΟΥ͂ ΤΕ ἈΡΑΒΊΟΥ ΚΌΛΠΟΥ ΚΑῚ ΤΗ͂Σ ἘΡΥΘΡΑ͂Σ ΘΑΛΆΣΣΗΣ ΚΑῚ ΤΟΥ͂ ἸΝΔΙΚΟΥ͂ ΠΕΛΆΓΟΥΣ ΠΑΝΤῸΣ ΠΕΡΊΠΛΟΥΣ.

Τῶν δὲ ἀριστερῶν τῆς Ἀσίας μερῶν, ἡ[1] τῆς ἠπείρου καὶ τῶν θαλασσῶν θέσις, τοῦτόν πως διάκειται τὸν τρόπον. Χρὴ γὰρ κᾀνταῦθα, πρὸ τῶν[2] κατὰ μέρος ὀνομασιῶν, τὰς καθόλου δηλῶσαι προσηγορίας, καὶ τὴν θέσιν σημῆναι τῶν τόπων. Πλέοντι τοίνυν τὸν Ἀράβιον κόλπον καὶ ἀριστερὰν ἔχοντι τὴν ἤπειρον, πρώτη μέν ἐστιν ἡ καλουμένη[3] Εὐδαίμων Ἀραβία περὶ ὅλον τὸν Ἀράβιον διήκουσα κόλπον, μέχρι τοῦ προῤῥηθέντος[4] Ἀραβίου πορθμοῦ. Μετὰ δὲ τὰ στενὰ τοῦ Ἀραβίου κόλπου ἐκδέχεται ἡ Ἐρυθρὰ θάλασσα, ἣν πε-

[1] ἡ cod. et Huds. — [2] πρῶτον τῶν cod. et Huds. — [3] ἐστιν ἡ Εὐδαίμων Ἀραβίου περὶ Huds. — [4] προρηθέντος cod. et Huds.

3. PARTIUM SINISTRARUM SINUS ARABICI, ET RUBRI MARIS, ET TOTIUS INDICI PELAGI PERIPLUS.

Sinistrarum autem Asiæ partium, tam continentis quam marium, situs hic est. Oportet enim et hoc loco, ante [quam ad] particulares [descendamus,] generales proferre appellationes, et locorum situm ob oculos ponere. Naviganti igitur sinum Arabicum, et continentem sinistræ obversam habenti, primum sese offert Arabia Felix vocata, per totum sinum Arabicum exporrecta usque ad prædictum fretum Arabicum. Post angustias vero sinus Arabici sequitur Rubrum mare : quod cir-

ριπλέοντι καὶ τὴν ἤπειρον ἀριστερὰν ἔχοντι, τὸ προῤῥηθὲν[1] ἔτι τῶν Ἀράβων ἔθνος ἐκδέχεται παρὰ πᾶσαν ταύτην παροικοῦν[2] τὴν ἤπειρον. Ἐν τούτῳ δὲ τῷ μέρει τῆς θαλάσσης, καὶ τὸ τῶν Ὁμηριτῶν ἔθνος τυγχάνει τῆς τῶν Ἀράβων ὑπάρχον[3] γῆς [καὶ] μέχρι τῆς[4] ἀρχῆς τοῦ Ἰνδικοῦ διῆκον πελάγους. Μετὰ δὲ τὴν Ἐρυθρὰν θάλασσαν ἑξῆς[5] ἐστι τὸ Ἰνδικὸν πέλαγος. Περιπλέοντι τοίνυν καὶ τούτου τὰ ἀριστερὰ μέρη τὰ πρὸς τὴν Ἀράβων γῆν ἀναπεπταμένα μέχρι τοῦ στόματος τοῦ Περσικοῦ κόλπου, ἐκδέχεται ὅ τε Σύαγρος[6] τὸ ὄρος, καὶ ὁ Σαχαλίτης[7] κόλπος μέγιστος ὤν, καὶ διήκων[8] ἄχρι τοῦ στόματος τοῦ κόλπου τοῦ Περσικοῦ. Εἰσπλεύσαντι δὲ εἰς τὸν Περσικὸν κόλπον, καὶ περιπλέοντι τοῦτον, ἀριστερὰν δὲ τὴν

[1] προρηθὲν cod. et Huds. — [2] παροικοῦντι cod. — [3] ὑπάρχων cod. et Huds. — [4] μέχρι γῆς ἀρχῆς cod. et Huds. — [5] ἐξ ἧς cod. — [6] Σίαγρος cod. et Huds. — [7] Ἀσχαλίτης cod. et Huds. — [8] μέγιστος, ὢν καὶ διῆκον cod. et Huds.

cumnaviganti, et continentem ad lævam habenti, occurrit prius memorata Arabum gens, universam hanc continentem habitans. In hac autem parte maris gens est Homeritarum, ad Arabum terram pertinens, et usque ad initium Indici pelagi pertingens. Deinceps vero post Rubrum mare est Indicum pelagus. Circumnaviganti igitur quicquid est hujus maris ad sinistram diffusi circa Arabum terram usque ad ostium sinus Persici, occurrit et Syagros mons, et sinus Sachalites, qui maximus est et pertingens usque ad os sinus Persici. Intranti autem sinum Persicum, illumque circumnaviganti, continentem vero ad sinistram habenti usque ad

ἤπειρον ἔχοντι, μέχρι τῶν ἐκβολῶν τοῦ Τίγρηδος ποταμοῦ, ἐν αὐτῷ ἔτι τῷ Περσικῷ κόλπῳ καὶ ἡ Σουσιανὴ[1] τὸ ἔθνος ἐκδέχεται. Οὐ μὴν ἀλλὰ καὶ ἡ Περσὶς μετὰ τὴν Σουσιανὴν κειμένη τυγχάνει, μεθ' ἣν Καρμανίας τὸ πλεῖστον μέρος, ἄχρι τῶν στενῶν τοῦ αὐτοῦ Περσικοῦ κόλπου. Ἀντίκειται δὲ ὁ Περσικὸς κόλπος τῇ Κασπίᾳ θαλάσσῃ τῇ καὶ Ὑρκανίᾳ λεγομένῃ, καὶ στενοῦσα τὴν μεταξὺ γῆν ποιεῖ μέγαν[2] ἰσθμὸν τῆς Ἀσίας. Ἐκπλεύσαντι δὲ τὸν κόλπον, καὶ πρὸς τὴν ἕω τὸν πλοῦν ποιουμένῳ, ἀριστερὰν τε ὁμοίως τὴν ἤπειρον ἔχοντι, ἐκδέχεται πάλιν τὸ Ἰνδικὸν πέλαγος, ᾧ τὸ λειπόμενον τῆς Καρμανίας ἔθνος παροικεῖ[3]. Καὶ μετὰ ταῦτα τὸ τῆς Γεδρωσίας ἔθνος κείμενον τυγχάνει· ἑξῆς δὲ τούτων ἐστὶν ἡ Ἰνδικὴ ἡ ἐντὸς Γάγγου ποταμοῦ κειμένη· ἧς κατὰ τὸ μεσαίτατον τῆς ἠπείρου νῆσος

[1] κόλπου σιανη (sic) cod. κόλπῳ ἡ Σουσιανὴ Huds. — [2] μέγα cod. et Huds. — [3] παροικεῖ Huds.

ostium Tigridis fluminis, in ipso etiam sinu Persico se offert Susiana provincia. Atqui tum post Susianam jacet Persis, post quam maxima pars Carmaniæ usque ad angustias sinus Persici. Sinus autem Persicus ex adverso est Caspio mari, quod et Hyrcanium appellatur, et coangustans terram intermediam efficit magnum Asiæ isthmum. Egredienti autem hunc sinum, et orientem versus naviganti, sinistrorsumque similiter continentem habenti, occurrit rursum Indicum pelagus, quod accolit reliqua Carmaniæ gens. Post hanc Gedrosia est provincia; deinceps vero est India, quæ intra Gangem flumen sita est : cujus continentis medio ex adverso jacet

κατ' ἀντικρὺ κεῖται μεγίστη Ταπροβάνη καλουμένη. Μετὰ δὲ ταύτην ἡ ἑτέρα ἐστὶν Ἰνδικὴ ἡ ἐκτὸς [1] Γάγγου ποταμοῦ, ὅρου τυγχάνοντος ἑκατέρων τῶν Ἰνδικῶν γαιῶν. Ἐν δὲ τῇ ἐκτὸς Γάγγου Ἰνδικῇ ἡ Χρυσῆ καλουμένη χεῤῥόνησός [2] ἐστι· μεθ' ἣν ὁ καλούμενος Μέγας κόλπος· οὗ κατὰ τὸ μεσαίτατον οἱ ὅροι τῆς ἐκτὸς Γάγγου Ἰνδικῆς [3] καὶ τῶν Σινῶν εἰσιν. Εἶθ' ἑξῆς τὸ τῶν Σινῶν ἐστιν ἔθνος, καὶ ἡ τούτων μητρόπολις, ἥτις Θεῖναι προσαγορεύεται, ὅριον τῆς ἐγνωσμένης γῆς καὶ ἀγνώστου τυγχάνουσα. Καὶ ἡ μὲν ὅλη τῶν τόπων θέσις καὶ περιγραφὴ τῶν ἀριστερῶν τῆς Ἀσίας μερῶν, τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ προσέτιγε τοῦ Περσικοῦ κόλπου καὶ τοῦ Ἰνδικοῦ πελάγους παντὸς, τοῦτον ἔχει τὸν τρόπον· τὰ δὲ κατὰ μέρος οὕτω πως ἔχει.

[1] ἡ ἐκ τῆς Γάγγου cod. — [2] χερσόνησος cod. et Huds. — [3] Ἰνδικῆς καὶ τῶν Σινῶν ἐστιν ἔθνος, καὶ ἡ κ.τ.λ. Huds.

insula maxima Taprobana appellata. Post hanc vero altera est India, extra Gangem fluvium, qui disterminat utramque Indiam. In India vero extra Gangem chersonesus est quæ Aurea vocatur; post quam sinus, Magnus nominatus, cujus juxta medium sunt termini Indiæ extra Gangem et Sinarum. Deinde Sinarum est gens, horumque metropolis, quæ Thinæ nuncupatur, terminus terræ cognitæ et incognitæ. Atque generalis quidem locorum situs, et descriptio sinistrarum Asiæ partium, et sinus Arabici, et Rubri maris, quinetiam et sinus Persici, et totius Indici pelagi, ad hunc modum se habet: particularis vero, hoc fere modo.

ΤΟΥ̃ ἈΡΑΒΊΟΥ ΚΌΛΠΟΥ ΚΑῚ [1] ΤΩ̃Ν ἈΡΙΣΤΕΡΩ̃Ν ΜΕΡΩ̃Ν ΤΩ̃Ν ΠΑΡᾺ ΤῊΝ ΕΥ̓ΔΑΊΜΟΝΑ ἈΡΑΒΊΑΝ ΠΕΡΊΠΛΟΥΣ.

Ἡ Εὐδαίμων Ἀραβία περιορίζεται ἀπὸ μὲν ἄρκτων ταῖς πλευραῖς τῆς τε Πετραίας Ἀραβίας, καὶ ἔτι τῆς Ἐρήμου Ἀραβίας, καὶ τῷ νοτίῳ μέρει τοῦ Περσικοῦ κόλπου μέχρι τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ, καὶ μέρει τῆς Ἰνδικῆς θαλάσσης, ἀπὸ δὲ μεσημβρίας [2] τῇ Ἐρυθρᾷ θαλάσσῃ· τὴν δὲ θέσιν τοιαύτην τινὰ ἔχει. Προπέπτωκε πρὸς τὴν μεσημβρίαν εἰς τὴν Ἐρυθρὰν θάλασσαν, καὶ τὸ Ἰνδικὸν πέλαγος ἐπὶ πλεῖστον, καὶ ὥσπερ χεῤῥόνησος [3] μεγίστη πλατυτάτῳ ἰσθμῷ προσεχομένη περιῤῥεῖται τῇ θαλάσσῃ. Ἐξ ἑκατέρων δὲ αὐτῆς τοῦ ἰσθμοῦ τῶν μερῶν κόλποι δύο παραβέβληνται·

[1] καὶ omis. cod. — [2] μεσιμβρίας cod. — [3] χερόνησος cod.

4. SINUS ARABICI ET PARTIUM QUÆ AD SINISTRAM JUXTA ARABIAM FELICEM PERIPLUS.

Arabia Felix terminatur a septentrionibus quidem lateribus Petrææ et Desertæ Arabiæ, et parte australiori sinus Persici usque ad ostia Tigridis fluminis, et parte Indici maris; a meridie vero Rubro mari; hujusmodi autem situm habet. Versus meridiem procidit in Rubrum mare, maximeque in Indicum pelagus; et veluti chersonesus magna, [continenti] adhærens latissimo isthmo, mari circumfunditur. Ab utraque autem isthmi ejus parte duo sinus protenduntur: et horum unus quidem [excurrens] a partibus quæ ad occasum, sinus

καὶ τούτων ὁ μὲν ἐκ τῶν πρὸς τὴν ἑσπέραν μερῶν Ἀράβιος καλεῖται κόλπος ὁ προειρημένος, ὁ δὲ πρὸς τὴν ἕω νενευκὼς Περσικὸς[1] κόλπος ὀνομάζεται· τὰ δὲ μεταξὺ πάντα ἀπὸ Ἀραβίου μυχοῦ μέχρι τοῦ προειρημένου Περσικοῦ κόλπου, καθ' ὃ μέρος τὰς ἐκβολὰς ὁ Τίγρις ποιεῖται ποταμὸς, περιπλεῖται, χερσονησοειδῆ[2] ὡς προείρηται τυγχάνοντα[3]. Ἔθνη δὲ πλεῖστα καὶ μέγιστα ἐν αὐτῇ ἔχει, ὧν τὰ προσεχῆ τῇ θαλάσσῃ κατὰ τὸν περίπλουν δηλωθήσεται. Τὰ δὲ περὶ τὸν αὐχένα τῆς Εὐδαίμονος Ἀραβίας μετὰ τὴν Πετραίαν καὶ τὴν Ἔρημον Ἀραβίαν κατέχουσιν οἱ καλούμενοι Σαρακηνοὶ, πλείονας μὲν ἔχοντες προσηγορίας, πολλὴν δὲ διακατέχοντες ἔρημον γῆν. Γειτνιῶσι γοῦν οὗτοι τῇ Πετραίᾳ Ἀραβίᾳ, καὶ τῇ Ἐρήμῳ Ἀραβίᾳ, καὶ τῇ Παλαιστίνῃ[4], καὶ τῇ Περσίδι[5], καὶ

[1] Περσοκὸς Huds. — [2] χερσονησοειδὴς Huds. χερσονησοειδὲς cod. — [3] τυγχάνουσα cod. et Huds. — [4] Παλαιστήνη cod. et Huds. — [5] Περσίδη Huds.

dicitur Arabicus, ante memoratus; alter vero ad ortum vergens sinus Persicus nominatur; sed terra quæ intermedia est omnis ab Arabico recessu usque ad prædictum sinum Persicum, qua ex parte se exonerat Tigris flumen, circumnavigatur, peninsulæ ad formam (ut prius dictum) quam maxime accedens. Gentes autem plures et maximas in se continet; quæ mari [quum sint] finitimæ ex periplo manifestæ erunt. Loca ad cervicem Arabiæ Felicis post Petræam et Desertam Arabiam incolunt Saraceni qui vocantur, plures quidem sortiti appellationes, multum vero terræ desertæ possidentes. Hi igitur vicini sunt Arabiæ Petrææ et Desertæ, et Pa-

ἀκολούθως τῇ προειρημένῃ Εὐδαίμονι Ἀραβίᾳ. Ἔστι δὲ τῆς Εὐδαίμονος Ἀραβίας τὸ μὲν μῆκος στάδια ͵α͵αψ', τὸ δὲ πλάτος στάδια ͵η ω ν'. Ἔχει δὲ τὰ ἔθνη ἤτοι σατραπείας [1] ν δ', πόλεις δὲ ἐπισήμους καὶ κώμας ρ ξ δ', ὄρη ἐπίσημα ιε', ποταμοὺς ἐπισήμους δ', λιμένας ἐπισήμους ϛ', κόλπους ἐπισήμους ε', αἰγιαλοὺς μεγάλους δύο, νήσους ἐπισήμους τὰς ἐν τῷ περίπλῳ εἰρημένας λε'. Οἱ πάντες ἀπὸ τοῦ Ἀσαβῶν [2] ἀκρωτηρίου μέχρι τοῦ Μεσανίτου [3] κόλπου τοῦ παρὰ τὴν Εὐδαίμονα Ἀραβίαν τυγχάνοντος στάδιοι ͵ε ρ μ' [4]. Οἱ δὲ σύμπαντες [5] ἀπὸ τοῦ Αἰλανίτου μυχοῦ τοῦ ἐν τῷ Ἀραβίῳ κόλπῳ μέχρι τοῦ Μεσανίτου [6] κόλπου, καὶ τοῦ πρὸς τῇ Ἐρήμῳ πέρατος [7] τοῦ Περσικοῦ κόλπου, καὶ ἔτι τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ τοῦ

[1] ἔθνη τῆς σατραπείας cod. et Huds. — [2] Ἀσαβῶ cod. et Huds. — [3] Μαισανίτου cod. et Huds. — [4] στάδια ψρμ' Huds. — [5] σύνπαντες cod. — [6] Μαισανίτου cod. et Huds. — [7] πέρατι cod. πέρατα Huds.

læstinæ, et Persidi, et consequenter prædictæ Arabiæ Felici. Patet autem Arabia Felix in longitudinem stadia 11,700, in latitudinem vero stadia 8,850. Habet autem provincias sive satrapias 54, urbes vero insignes et vicos 164, montes insignes 15, fluvios insignes 4, portus insignes 6, sinus insignes 5, littora magna 2, insulas insignes in periplo memoratas 35. Ab Asaborum promontorio usque ad Mesanitem sinum, qui juxta Arabiam Felicem, stadia omnia sunt 5,140. Totius vero oræ maritimæ Arabiæ Felicis peripli, ab Ælanitico recessu in sinu Arabico usque ad sinum Mesanitem, et extremitates Persici sinus versus [Arabiam] Desertam,

περίπλου παντὸς τῆς παραλίας τῆς τῶν Εὐδαιμόνων Ἀράβων γῆς εἰσι στάδιοι γηρν' [1].

ΣΟΥΣΙΑΝΗΣ ΠΕΡΙΠΛΟΥΣ.

Σουσιανὴ κεῖται μὲν ἐν τῷ Περσικῷ κόλπῳ· περιορίζεται δὲ ἀπὸ μὲν ἄρκτων τῇ Ἀσσυρίᾳ, ἀπὸ δὲ δύσεως τῇ προειρημένῃ Βαβυλωνίᾳ, παρὰ τὸ τοῦ Τίγριδος ποταμοῦ μέρος τὸ μέχρι θαλάσσης, ἀπὸ δὲ ἀνατολῆς τῇ Περσίδι, ἀπὸ δὲ μεσημβρίας τῷ Περσικῷ κόλπῳ, ἀπὸ τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ, μέχρι τῶν ἐκβολῶν τῶν εἰς τὸν Περσικὸν κόλπον τοῦ Ὀροάτιδος [2] ποταμοῦ. Καὶ ἡ μὲν ὅλη τῆς χώρας περιγραφὴ τοιαύτη· ὁ δὲ κατὰ μέρος παράπλους οὕτω πως ἔχει. Ἀπὸ τοῦ ἀνατολικοῦ στόματος τοῦ Τίγριδος ποταμοῦ ἐπὶ

[1] στάδια γμρν'. Huds. — [2] Ὀρωάσιος cod. Ὀρωάδιος Huds.

atque etiam ostia Tigridis fluvii, stadia universa sunt 38,150.

5. SUSIANÆ PERIPLUS.

Susiana quidem jacet in Persico sinu; terminatur autem a septentrionibus quidem Assyria : sed ab occasu prædicta Babylonia, juxta Tigridis fluvii partem, quæ ad mare : ab orienti vero Perside : a meridie autem Persico sinu, ab ostiis Tigridis fluvii usque ad ostia in sinum Persicum Oroatidos amnis. Atque hæc quidem universa regionis circumscriptio : præternavigatio vero singularum ejus partium est in hunc fere modum. Ab orientali ostio Tigridis fluvii ad Vallum Spasini sta-

Χάρακα Σπασίνου [1] στάδια π'. Κατὰ τοῦτο τὸ μέρος νῆσος κεῖται Απφάνα [2] λεγομένη· ταύτην δέ τινες [3] τῷ περίπλῳ τῆς Εὐδαίμονος Ἀραβίας προσνέμουσιν, ἐν ταῖς λε' νήσοις ἀριθμοῦντες. Ἀπὸ δὲ τοῦ Χάρακος Σπασίνου [4] ἐπὶ Μαγαίου ποταμοῦ ἐκβολὰς στάδια ψ'. Ἀπὸ δὲ Μαγαίου ποταμοῦ ἐπὶ Πηλώδη [5] κόλπον λεγόμενον στάδια υ'. Παροικοῦσι δὲ τὸν κόλπον τοῦτον καὶ τοὺς περὶ αὐτὸν [6] τόπους Ἐλυμαῖοι, τῆς Σουσιανῆς ὄντες χώρας. Κατὰ δὲ τὸν κόλπον τοῦτον νῆσος κεῖται, Ταξίανα [7] λεγομένη. Ἀπὸ δὲ τοῦ κόλπου ἐπὶ τὰς τοῦ Εὐλαίου ποταμοῦ ἐκβολὰς στάδια ...ς'. Κατὰ τοῦτον τὸν ποταμὸν ἐν τῇ μεσογείᾳ πόλις κεῖται τῆς Σουσιανῆς μητρόπολις τὰ Σοῦσα. Ἀπὸ δὲ τοῦ Εὐλαίου ποταμοῦ εἰς Τένογος

[1] Χάρακα Πασινοῦ cod. et Huds. — [2] Ἀπφάδανα cod. et Huds. — [3] ταύτην τινὲς Huds. — [4] Χάρακος Πασινοῦ cod. et Huds. — [5] Σπηλώδη cod. et Huds. — [6] περὶ αὐτῆς cod. et Huds. — [7] Ταξίαν cod. Ταξία Huds.

dia 80. Huic [Susianæ] parti adjacet insula Apphana nominata : quam nonnulli adtribuunt periplo Arabiæ Felicis, [eam] numerantes inter insulas triginta quinque. A Vallo autem Spasini usque ad ostia Magæi fluvii stadia 700. Verum a Magæo fluvio usque ad sinum Peloden [vel cœnosum] appellatum stadia 400. Hunc vero sinum et locos adjacentes incolunt Elymæi, Susianæ regionis [populus]. Juxta autem hunc sinum est insula Taxiana nuncupata. A sinu vero usque ad Eulæi fluvii ostia stadia...6. Juxta hunc fluvium in [regione] mediterranea civitas est Susa, metropolis Susianæ. Ab Eulæo autem fluvio ad Tenagon arenosum usque ad

ἀμμώδεις [1] ἐπὶ τὰς τοῦ Ὀροάτιδος [2] ποταμοῦ ἐκβολὰς στάδια ν'. Ἔστι δὲ τῆς Σουσιανῆς τὸ μὲν μῆκος στάδια γφ', τὸ δὲ πλάτος στάδια ϛτν' [3]. Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας [4] ϛ', πόλεις δὲ ἐπισήμους καὶ κώμας ιζ', ποταμοὺς ἐπισήμους δ', Πηλώδη κόλπον, Τέναγος ἀμμῶδες, Ἡρακλέους στήλας [5]. Οἱ πάντες ἀπὸ τοῦ στόματος τοῦ Τίγριδος ποταμοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Ὀροάτιδος [6] ποταμοῦ τοῦ παράπλου τῆς Σουσιανῆς χώρας στάδιοι [7] γυλ'.

ΠΕΡΣΙΔΟΣ ΠΑΡΑΠΛΟΥΣ.

Περσὶς κεῖται μὲν καὶ αὐτὴ ἐν τῷ Περσικῷ κόλπῳ. Περιορίζεται δὲ ἀπὸ μὲν ἄρκτων τῇ Μηδίᾳ [8], ἀπὸ δὲ δύσεως τῇ

[1] ἀμμώδους cod. — [2] Ὀρατίου cod. Ὀρατίου Huds. — [3] στάδια ϛγν' Huds. — [4] σατραπείας cod. et Huds. et sic sæpius. — [5] στῆλαι cod. et Huds. — [6] Ὀρατίου cod. et Huds. — [7] στάδια Huds. — [8] Μηδείᾳ cod. et Huds.

ostia Oroatidos fluvii stadia 450. Patet autem Susiana quidem in longitudinem stadia 3,500, in latitudinem vero stadia 2,350. Habet autem provincias sive satrapias 6, urbes vero insignes et vicos 17, fluvios insignes 4, sinum Peloden, Tenagon arenosum, Herculis columnas. Stadia universa præternavigationis Susianæ regionis ab ostio Tigridis fluvii ad ostia Oroatidos fluvii sunt 3,430.

6. PERSIDIS PARAPLUS.

Jacet quidem et Persis ipsa in sinu Persico. Terminatur autem a septentrionibus Media : ab occasu vero

προειρημένῃ Σουσιανῇ, ἀπὸ δὲ ἀνατολῶν τῇ Καρμανίᾳ, ἀπὸ δὲ μεσημβρίας [1] τῷ Περσικῷ κόλπῳ, τοῦ Ὀροάτιδος [2] ἀρξαμένη ποταμοῦ, μέχρι τῶν ἐκβολῶν Βαγράδα [3] τοῦ ποταμοῦ. Καὶ ἡ μὲν ὅλη τῆς χώρας περιγραφὴ τοιαύτη· ὁ δὲ κατὰ μέρος περίπλους τοῦτον ἔχει τὸν τρόπον. Ἀπὸ τῶν ἐκβολῶν τοῦ Ὀροάτιδος ποταμοῦ ἐπὶ ἄκραν Ταόκην [4] λεγομένην στάδια φ'. Ἀπὸ δὲ ἄκρας Ταόκης ἐπὶ Ῥογομάνιος [5] ποταμοῦ ἐκβολὰς στάδια ψ'. Ἐν δὲ τῷ παράπλῳ νῆσος κεῖται Σώφθα [6] καλουμένη. Ἀπὸ δὲ Ῥογομάνιος [7] ποταμοῦ εἰς Χερσόνησον στάδια φ'. Ἐνταῦθα παράκειται νῆσος Ἀλεξάνδρου καλουμένη. Ἀπὸ δὲ τῆς Χερσονήσου εἰς Βρισοάνα [8] ποταμοῦ ἐκβολὰς στάδια χν'.

[1] μεσιμβρίας cod. — [2] Ὀρατίου cod. Ὀρατίου Huds. ut paulo post. — [3] Βάγραδα cod. et Huds. — [4] Ταοκὴν cod. et Huds. — [5] Ῥογομανίας cod. et Huds. — [6] Σωφάθ cod. et Huds. — [7] Ῥογομανίος cod. Ῥογομανίας Huds. — [8] Βρισόμνα Huds.

jam dicta Susiana : ab oriente autem Carmania : a meridie vero sinu Persico, incipiens ab Oroatide fluvio [et pertingens] ad ostia Bagradæ fluvii. Ac universæ quidem regionis circumscriptio ita se habet : periplus vero locorum singulorum ad hunc modum. Ab ostiis Oroatidos fluvii usque ad Taocen promontorium stadia 500. A promontorio vero Taoce usque ad ostia Rhogomanis fluvii stadia 700. Occurrit autem in prætervectione insula Sophtha nominata. A Rhogomani fluvio ad Chersonesum [promontorium] stadia 500. Hic adjacet insula Alexandri appellata. A Chersoneso autem ad Brisoanæ fluvii ostia stadia 650. At a Brisoana fluvio ad Ausinza stadia 600. Ab Ausinzis vero ad ostia Bagradæ

Ἀπὸ δὲ τοῦ Βρισοάνα[1] ποταμοῦ εἰς Αὐσίνζα[2] στάδια χ'. Ἀπὸ Αὐσίνζων [εἰς[3]] Βαγράδα[4] ποταμοῦ ἐκβολὰς στάδια υν'. Ἐνταῦθα[5] τῆς Περσίδος τοὺς ὅρους[6] ἀποτελευτᾶν προειρήκαμεν. Ἔστι δὲ τῆς Περσίδος τὸ μὲν μῆκος στάδια ͵δ, τὸ δὲ πλάτος ͵αυ'[7]. Ἔχει δὲ ἔθνη ἢ σατραπείας[8] ι', πόλεις δὲ ἐπισήμους καὶ κώμας λϐ', ποταμοὺς ἐπισήμους γ', ἀκρωτήριον ἐπίσημον ἕν, χεῤῥόνησον[9] ἐπίσημον α', νήσους ἐπισήμους ϐ'. Οἱ πάντες ἀπὸ τοῦ Ὀροάτιδος[10] μέχρι τῶν τοῦ[11] Βαγράδα ποταμοῦ ἐκβολῶν τοῦ παράπλου τῆς τῶν Περσῶν χώρας στάδιοι[12] ͵γυ'.

[1] Βρισοάνας cod. — [2] Σαύσινδα cod. Στανσίνδα Huds. ut infra. — [3] εἰς omis. cod. — [4] Βάγραδα cod. et Huds. — [5] Ἐνταῦθα τὸ μῆκος· ἐνταῦθα Huds. — [6] τοῦ ὅρους cod. — [7] στάδια δ'· τὸ δὲ πλάτος . . . υ'. Huds. — [8] σατραπίας cod. et Huds.— [9] χερσόνησον cod. χεῤῥο. ἐπίσ. α' omis. Huds. — [10] Ὀρατίου cod. et Huds. — [11] μέχρι τοῦ Huds. — [12] στάδια Huds.

fluvii stadia 450. Hic Persidos terminos desinere prius diximus. Est autem Persis longitudine quidem stadia 4,000, latitudine vero 1,400. Habet gentes sive satrapias 10, urbes insignes et vicos 32, fluvios insignes 3, promontorium insigne 1, chersonesum insignem 1, insulas insignes 2. Præternavigationis Persarum regionis, ab Oroatide usque ad ostia Bagradæ fluvii, stadia cuncta sunt 3,400.

ΚΑΡΜΑΝΊΑΣ ΠΕΡΊΠΛΟΥΣ.

Ἡ Καρμανία [1] μέρει μέν τινι κατὰ τὸν Περσικὸν κεῖται κόλπον, μέρει δὲ παρὰ τὸ Ἰνδικὸν πέλαγος μετὰ τὸν κόλπον τὸν Περσικόν. Περιορίζεται δὲ ἀπὸ μὲν ἄρκτων τῇ ἐρήμῳ Καρμανίᾳ, ἀπὸ δὲ δύσεως τῇ προῤῥηθείσῃ [2] Περσίδι καὶ τῷ προειρημένῳ Βαγράδᾳ ποταμῷ, καὶ ἔτι τῷ λειπομένῳ μέρει [3] τοῦ Περσικοῦ κόλπου, διὰ τὸ πρὸς δύσιν ὁρᾷν αὐτὸν, καλουμένῳ Καρμανικῷ [4]· ἀπὸ δὲ ἀνατολῶν Γεδρωσίᾳ τῷ ἔθνει παρὰ τὰ Περσικὰ ὄρη· ἀπὸ δὲ μεσημβρίας μετὰ τὰ στενὰ τοῦ Περσικοῦ κόλπου τῷ Ἰνδικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη τῆς χώρας περιγραφὴ τοιαύτη· ὁ δὲ κατὰ μέρος περίπλους οὕτως ἔχει. Ἀπὸ τῶν ἐκβολῶν τοῦ εἰρημένου Βαγράδα [5] ποταμοῦ

[1] Ἡ omis. Huds. — [2] προρηθείσῃ cod. et Huds. — [3] μέχρι τοῦ cod. — [4] Καρμανισῷ Huds. — [5] Βαγραδᾶ cod. et Huds.

7. CARMANIÆ PERIPLUS.

Carmania partim quidem adjacet Persico sinui, partim vero Indico pelago, post sinum Persicum. Terminatur autem a septentrionibus quidem Carmania deserta : ab occasu vero prædicta Perside, et Bagrada fluvio prius memorato, insuper et reliqua parte sinus Persici, quæ Carmanica appellatur quia ad occasum spectat : ab oriente Gedrosia provincia juxta Persicos montes : a meridie post angustias Persici sinus Indico pelago. Atque hæc est universæ quidem regionis circumscriptio : locorum vero particularium periplus sic habet. Ab ostiis [jam] dicti Bagradæ fluvii usque ad

ἐπὶ Δάρα [1] ποταμὸν στάδια τ'. Ἐνταῦθα παροικοῦσι Καμηλοβοσκοὶ, τῆς Καρμανίας χώρας ὄντες. Ἀπὸ δὲ τοῦ Δάρα ποταμοῦ ἐπὶ Κάθραπος ποταμοῦ ἐκβολὰς στάδια φ'. [Ἀπὸ [2] δὲ τοῦ Κάθραπος ποταμοῦ] ἐπὶ Κορίου ποταμοῦ ἐκβολὰς στάδια ψ'. Κατὰ τούτους τοὺς τόπους νῆσός κεῖται Ἀγηδάνα καλουμένη, ἐν ᾗ μίλτος πολλὴ γίνεται. Ἀπὸ δὲ τοῦ Κορίου ποταμοῦ εἰς Ἀχινδάνα [3] ποταμοῦ ἐκβολὰς στάδια υ'. Ἀπὸ δὲ Ἀχινδάνα ποταμοῦ ἐπὶ Ἀνδάνιος [4] ποταμοῦ ἐκβολὰς στάδια φ'. Παράκειται δὲ τοῖς τόποις τούτοις νῆσος Ὀάρακτα [5]. Ἀπὸ δὲ τοῦ Ἀνδάνιος [6] ποταμοῦ ἐπὶ Σαγανοῦ [7] ποταμοῦ ἐκβολὰς στάδια υ'. Ἀπὸ δὲ Σαγανοῦ ποταμοῦ ἐκβολῶν [8] εἰς Ἁρμόζουσαν [9] πόλιν στάδια σ'. Ἀπὸ δὲ Ἁρμοζούσης ἐπὶ Ἁρμόζον [10]

[1] Δώρα Huds. ut infra. — [2] Quæ uncis includuntur, desunt in cod. et in Huds. — [3] Ἀχιάδαμα cod. et Huds. — [4] Ἀδδάνιος cod. et Huds. — [5] ὁ ὄραχθα cod. Ὀορἀχθα Huds. — [6] Ἀπὸ δὲ Τουάνης cod. et Huds. — [7] Σαγάνου cod. et Huds. ut infra. — [8] ἐκβολὰς cod. — [9] Ἁρμόξουσαν Huds.— [10] Ἁρμούζης ἐπὶ Ἁρμόζων cod.

Daram fluvium stadia 300. Hic habitant Cameloboscі, qui Carmaniæ regionis sunt. A Dara autem fluvio ad ostia Cathrapis fluvii stadia 500. [A Cathrape fluvio] ad ostia Corii fluvii stadia 700. His locis adjacet insula Agedana appellata, in qua multum rubricæ est. A Corio autem fluvio ad ostia Achindanæ fluvii stadia 400. Ab Achindana fluvio ad ostia Andanii fluvii stadia 500. His autem locis adjacet insula Oaracta. Ab Andanio vero fluvio ad ostia Sagani fluvii stadia 400. Ab ostiis Sagani fluvii ad Armozusam civitatem stadia 200. Ab Armozusa vero ad promontorium Armozon appellatum stadia 800.

3.

ἀκρωτήριον λεγόμενον στάδια ω'. Ἀπὸ δὲ τοῦ Ἁρμόζοντος [1] ἀκρωτηρίου ἐπὶ Καρπέλλαν ἀκρωτήριον στάδια ψν'. Ἐνταῦθα παράκειται τὸ προῤῥηθὲν Στρογγύλον [2] ὄρος τὸ Σεμιράμιδος [3], ᾧπερ ἀντικεῖσθαι ἔφαμεν κατὰ τὴν Εὐδαίμονα Ἀραβίαν τὸ Ἀσαβῶν [4] ὄρος [5] τε καὶ ἀκρωτήριον, ἅπερ ἑκάτερα ὄρη τε καὶ ἀκρωτήρια τὰ στενὰ ποιεῖ τοῦ Περσικοῦ κόλπου. Οἱ πάντες ἀπὸ τοῦ Βαγράδα [6] ποταμοῦ μέχρι τοῦ Στρογγύλου ὄρους, καὶ Καρπέλλης ἄκρας τοῦ περίπλου [7] τῆς Καρμανίας τοῦ παρὰ τὸν Περσικὸν τυγχάνοντος στάδιοι [8] ͵δσν'. Οἱ δὲ σύμπαντες [9] τοῦ περίπλου παντὸς τοῦ Περσικοῦ κόλπου ἀπὸ τοῦ Ἀσαβῶν [10] ὄρους καὶ τοῦ Ἀσαβῶν ἀκρωτηρίου μέχρι τοῦ Σεμιράμιδος [11] Στρογγύλου ὄρους καὶ Καρπέλλης ἀκρωτη-

[1] Ἁρμόζων cod. — [2] Στρογγῦλον cod. — [3] Σεράμιδος cod. et Huds. — [4] Ἀραβίαν Πασαβὼ cod. et Huds. — [5] ὄρος τε ἀκρ. cod. — [6] Βάγραδα cod. — [7] περίπλους cod. — [8] στάδια cod. et Huds. — [9] σύνπαντες cod. et sic ubique. — [10] Ἀσάβω ὄρους καὶ τῆς Ἀγαβὼ cod. et Huds. — [11] Σεράμιδος cod. et Huds.

A promontorio autem Armozonte ad Carpellam promontorium stadia 750. Hic accubat præfatus Strongylus [sive Rotondus] mons, qui [vocatur] Semiramidis; cui in Arabia Felici oppositum esse diximus Asaborum montem et promontorium; qui utrinque montes una cum promontoriis faciunt angustias Persici sinus. Carmaniæ peripli juxta sinum Persicum, a Bagrada fluvio ad Strongylum montem et Carpellæ extremum, stadia omnia 4,250. Universa autem totius Persici sinus peripli ab Asaborum monte et Asaborum promontorio usque ad Semiramidis Rotundum montem et Carpellæ promon-

ρίου. . . ἐκδέχεται [1] τὸ Ἰνδικὸν πέλαγος πρὸς ἀνατολὰς ἐκτεικείμενον· ᾧ τὸ λειπόμενον μέρος τῆς Καρμανίας παρήκει μέχρι Μουσαριναίων [2] γῆς. Ἐκδέχεται τοίνυν μετὰ τὴν ἄκραν τὴν Καρπέλλαν μέγιστος κόλπος ὁ καλούμενος Παράγων, διήκων μέχρι τοῦ ἀκρωτηρίου τοῦ καλουμένου Ἀλαμβατὴρ [3], καὶ τῆς νήσου τῆς καλουμένης Λίβης [4]. Τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Ἀπὸ Καρπέλλης ἄκρας εἰς Κανθάπιν [5] πόλιν στάδια ᾳ. Ἐνταῦθα παροικοῦσιν οἱ καλούμενοι Πασαργάδαι [6], Καρμανῶν ὄντες γένους. Ἀπὸ δὲ Κανθάπιδος [7] πόλεως εἰς Ἄγρισαν πόλιν στάδια σν'. Ἀπὸ δὲ Ἀγρίσης [8] πόλεως ἐπὶ Κόμμανα [9] ἐμπόριον τῶν ἐπισήμων στάδια χ'. Ἀπὸ δὲ Κομμάνων [10] ἐπὶ

[1] Desiderantur quædam ante ἐκδέχεται. Huds. — [2] Μουσαρμάνων cod. et Huds. — [3] Ἀλαμβατῦρ cod. Ἀλαμβατὺρ Huds. — [4] Ξίβος cod. et Huds. — [5] Κανεάτιν cod. et Huds. — [6] Πασαργάδες οὐ Καρμανῶν ὄντες ἐγγύς. cod. et Huds. — [7] Κανράτιδος cod. Κανεάτιδος Huds. Καυράτιδος cod. Herv. — [8] Ἄγρις τῆς cod. — [9] Ὀμανὰ cod. et Huds. — [10] Ὀμμανῶν cod. et Huds.

torium. . . excipit Indicum pelagus orientem versus extensum : cui prætenditur reliqua Carmaniæ pars usque ad Musarinæorum terram. Post Carpellam igitur promontorium sequitur maximus sinus, Paragon nuncupatus; pertingens usque ad promontorium Alambater dictum, et insulam quæ vocatur Liba. Quæ singulatim vero [describenda], sic se habent. A Carpella promontorio ad Canthapin civitatem stadia 1,000. Hic habitant qui Pasargadæ appellantur, ex Carmania etiam oriundi. Ab urbe vero Canthapide ad urbem Agrisam stadia 250. Ab Agrisa urbe ad Commana emporium insigne stadia 600. A Commanis vero ad Rhogana stadia 150.

Ῥόγανα στάδια ρν'. Ἀπὸ δὲ Ῥογάνων εἰς Σαλάρου ποταμοῦ ἐκϐολὰς [1] στάδια ρν'. Ἀπὸ δὲ Σαλάρου ποταμοῦ ἐπὶ Μάσιδα [2] στάδια σ'. Ἀπὸ δὲ [3] Μασίδων εἰς Σαμυδάκην [4] πόλιν στάδια σ'. Ἐνταῦθα παροικοῦσι Χελωνοφάγοι [5], τῆς Καρμανίας καὶ αὐτοὶ τυγχάνοντες. Ἀπὸ δὲ Σαμυδάκης [6] πόλεως ἐπὶ Σαμυδάκου [7] ποταμοῦ ἐκϐολὰς στάδια φ'. Ἀπὸ δὲ Σαμυδάκου ποταμοῦ εἰς Τῆσα [8] πόλιν στάδια υ'. Ἀπὸ δὲ Τῆσα πόλεως εἰς Ὑδριακοῦ ποταμοῦ ἐκϐολὰς στάδια σ'. Ἀπὸ δὲ τοῦ Ὑδριακοῦ [9] ποταμοῦ ἐκϐολῶν ἐπὶ Βαγίαν [10] ἄκραν στάδια υ'. Ἀπὸ δὲ Βαγίας [11] ἄκρας εἰς Κύϊζα [12] λιμένα στάδια συ'. Ἀπὸ δὲ Κυΐζων λιμένος εἰς Ἀλαμϐατὴρ ἀκρωτήριον στάδια υ'. Κατὰ ταῦτα [τὰ] μέρη [13] κεῖται νῆσος πελαγία Πόλλα [14] καλουμένη.

[1] ἐκϐολὰς ἐπὶ Πάσιδα, intermedia omis. Huds. — [2] Πάσιδα Huds. — [3] δὲ omis. Huds. — [4] Ἀμυδακὴν cod. et Huds. — [5] χελονοφάγοι cod. — [6] Σαμυδακῆς cod. et Huds. — [7] Σαμυλακοῦ cod. — [8] Τησὰ cod. et Huds. ut infra. — [9] Ὑδριάκου ποτ. ἐκϐολὰς cod. — [10] Βασίαν cod. Κασίαν Huds. — [11] Βασίας cod. Κασίας Huds. — [12] Κυΐζα Huds. — [13] μέρει Huds. — [14] Πόλα cod. et Huds.

A Rhoganis autem usque Salari fluvii ostia stadia 150. A Salaro autem fluvio ad Masida stadia 200. A Masidis vero ad Samydacen civitatem stadia 200. Hic juxta habitant Chelonophagi, qui etiam ipsi ex Carmania sunt. Ab urbe autem Samydace ad ostia Samydaci fluvii stadia 500. A Samydaco vero fluvio ad Tesam civitatem stadia 400. Ab urbe Tesa ad ostia Hydriaci fluvii stadia 200. Ab ostiis vero Hydriaci fluvii ad Bagiam promontorium stadia 400. A Bagia autem promontorio ad Cyiza portum stadia 250. A Cyizorum vero portu ad Alambater promontorium stadia 400. Juxta

Παράκειται δὲ τῷ Ἀλαμβατὴρ[1] ἀκρωτηρίῳ νῆσος καλουμένη Λίβη[2]. Ἐνταῦθα τελευτᾷν τὸν κόλπον τὸν καλούμενον Παράγοντα προειρήκαμεν. Ἔστι δὲ ὁ πᾶς περίπλους αὐτοῦ ἀπὸ Καρπέλλης ἄκρας εἰς Ἀλαμβατὴρ ἀκρωτήριον στάδια ͵αψʹ. Ἀπὸ δὲ τοῦ Ἀλαμβατὴρ ἀκρωτηρίου εἰς Δερενόβιλλα στάδια σνʹ. Ἐνταῦθα παράκειται νῆσος Κάρμιννα καλουμένη. Ἀπὸ δὲ Δερενοβίλλης εἰς Κωφάντα λιμένα στάδια σνʹ. Ἀπὸ δὲ Κωφάντος λιμένος εἰς Ζοράμβου ποταμοῦ ἐκβολὰς στάδια σʹ. Ἀπὸ δὲ τοῦ Ζοράμβου ποταμοῦ εἰς Βάδαρα[3] στάδια σνʹ. Ἀπὸ δὲ Βαδάρων εἰς Μουσάρνα πόλιν στάδια τʹ. Ἔστι δὲ τῆς Καρμανίας τὸ μὲν μῆκος στάδια ͵ζ[4], τὸ δὲ πλάτος ͵αφʹ. Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας[5] ιʹ, πολεις δὲ ἐπισήμους καὶ κώμας κγʹ,

[1] Ἀλαμβατείρ cod. et Huds. ut paulo post. — [2] Ζίβη cod. et Huds. — [3] Βάραδα cod. — [4] στάδια ζʹ Huds. — [5] σατραπίας cod. et Huds.

hæc loca in alto jacet insula Polla nominata. Alambater autem promontorio adjacet insula Liba appellata. Hic sinum, qui Paragon cognominatur, desinere prius diximus. Est autem totius ejus periplus a Carpella promontorio ad Alambater promontorium stadia 1,700. A promontorio autem Alambater ad Derenobillam stadia 250. Huic adjacet insula Carminna nuncupata. A Derenobilla vero ad Cophanta portum stadia 250. A portu Cophante ad ostia Zorambi fluvii stadia 200. Ab amne vero Zorambo ad Badara stadia 250. A Badaris autem ad Musarna urbem stadia 300. Patet autem Carmania in longitudinem quidem stadia 7,000, in latitudinem stadia 1,500. Habet autem gentes sive satrapias 10, urbes vero insignes et vicos 23, montes insignes 3, fluvios insi-

ὄρη ἐπίσημα γ', ποταμοὺς ἐπισήμους ι'[1], ἀκρωτήρια ἐπίσημα γ', λιμένας ἐπισήμους δύο, νήσους[2] ἐπισήμους ε'. Οἱ πάντες ἀπὸ τοῦ Καρπέλλης[3] ἀκρωτηρίου μέχρι Μουσάρνων[4] πόλεως τοῦ περίπλου τῆς Καρμανίας τῆς παρὰ τὸ Ἰνδικὸν πέλαγος στάδιοι[5] ϛτν'. Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ Βαγράδα ποταμοῦ μέχρι Μουσάρνων πόλεως τοῦ περίπλου πάσης[6] τῆς τῶν Καρμανῶν παραλίας στάδιοι ͵ασ'[7].

ΓΕΔΡΩΣΙΑΣ ΠΕΡΙΠΛΟΥΣ.

Γεδρωσία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῇ Δραγγιανῇ καὶ τῇ Ἀραχωσίᾳ· ἀπὸ δὲ δύσεως τῇ προειρημένῃ Καρμανίᾳ μέχρι θαλάσσης· ἀπὸ δὲ ἀνατολῶν τῷ τῆς Ἰνδικῆς μέρει τῷ παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τοῦ πρὸς τῇ μνημονευ-

[1] δέκα Huds. — [2] οἴσους Huds. — [3] Καρπέλλα cod. et Huds. — [4] Μουσαρνασπόλεως cod. Μουσάρνα Huds. — [5] στάδια Huds. — [6] στάσης Huds. — [7] στάδια ͵ασ' (1,200) Huds.

gnes 10, promontoria insignia 3, portus insignes 2, insulas insignes 5. Carmaniæ Indico pelago adjacentis peripli, a Carpella promontorio usque ad Musarna civitatem stadia omnia sunt 5,350. Peripli totius Carmaniæ oræ maritimæ, a Bagrada fluvio ad Musarna urbem, stadia universa sunt 10,200.

8. GEDROSIÆ PERIPLUS.

Gedrosia terminatur a septentrionibus quidem Drangiana et Arachosia : ab occasu Carmania prædicta usque ad mare : ab oriente vero parte Indiæ juxta Indum amnem, usque ad limitem Arachosiæ jam me-

θείσῃ Ἀραχωσίᾳ [1] ὁρίου· ἀπὸ δὲ μεσημβρίας τῷ Ἰνδικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη· τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Ἀπὸ Μουσάρνων [2] πόλεως εἰς Ἀρτάβιος ποταμοῦ ἐκβολὰς στάδια ͵ατ'. Ἀναπλεύσαντι [3] δὲ τῷ ποταμῷ, πόλις [4] ἐν δεξιᾷ κατὰ τὸν ἀνάπλουν κεῖται Ἄρβις καλουμένη· καὶ ἔτι ἀνώτερον ὁμοίως ἐν δεξιᾷ τοῦ ποταμοῦ πόλις Παρσὶς [5] ἡ μητρόπολις τῆς Γεδρωσίας. Ἀπὸ δὲ τοῦ Ἀρτάβιος ποταμοῦ εἰς Ῥάπραυα πόλιν στάδια φν'. Ἀπὸ δὲ τῆς Ῥάπραυα πόλεως ἐπὶ Γυναικῶν λιμένα στάδια φ'. Ἐνταῦθα κεῖνται αἱ τῶν Ἀρβιτῶν [6] κῶμαι. Ἀπὸ δὲ Γυναικῶν λιμένος εἰς Κοϊάμβα [7] στάδια υ'. Ἐντεῦθεν ἄρχεται ἡ Παταληνὴ χώρα, ἧς τὸ πλεῖστον ὁ Ἰνδὸς ποταμὸς τοῖς στόμασιν ἐμπεριείληφε, καὶ αὐ-

[1] Ἀραχωσίου cod. et Huds. — [2] Μουσαρνῶν cod. et Huds. — [3] Ἀναπλεύσαντες cod. et Huds. — [4] πόλεις cod. et Huds. — [5] Παρσὶος cod. Περσὶος Huds. — [6] Ἀραβιτῶν cod. et Huds. — [7] Κοίαμβα cod. et Huds.

moratæ : meridie vero Indico pelago. Atque generalis quidem circumscriptio hæc est : particularis autem ad hunc modum. A Musarnis civitate ad ostia Artabios fluvii stadia 1,300. In fluvium autem naviganti a dextra juxta navigationis cursum jacet urbs Arbis nominata : et superius etiam ad dextram similiter fluvii Parsis Gedrosiæ metropolis. A fluvio autem Artabio ad Rhapraua civitatem stadia 550. A civitate vero Rhapraua ad Mulierum portum stadia 500. Hic jacent Arbitorum vici. A Mulierum autem portu ad Coïamba stadia 400. Hic incipit Patalene regio : cujus maximam partem ostiis suis complexus est Indus fluvius, atque ipsam quidem

τὴν δὲ τὴν μητρόπολιν καλουμένην Πάταλα. Μετὰ δὲ τὸ [1] γ' στόμα τοῦ Ἰνδοῦ ποταμοῦ ὥσπερ νῆσον κεῖσθαι συμβέβηκε καὶ ἑτέρας πόλεις πλείστας. Ἔστι δὲ τῆς Γεδρωσίας τὸ μὲν μῆκος στάδια ϛχ', τὸ δὲ πλάτος στάδια ͵εσν' [2]. Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας [3] η', πόλεις δὲ ἐπισήμους καὶ κώμας ιβ', ὄρος μέγιστον α', ποταμὸν μέγαν α', λιμένα ἐπίσημον α' [4], νήσους ἐπισήμους β'. Οἱ πάντες ἀπὸ Μουσάρνων πόλεως εἰς Ῥιζάνα [5] αὐτῆς τῶν Γεδρωσίων παραλίας στάδιοι ͵γων' [6].

ἸΝΔΙΚΗ͂Σ ΤΗ͂Σ ἘΝΤῸΣ ΓΆΓΓΟΥ [7] ΠΟΤΑΜΟΥ͂, ΚΑῚ ΤΩ͂Ν ἘΝ ΑΥ̓ΤΗ͂͂Ι ΚΌΛΠΩΝ ΚΑῚ ΝΉΣΩΝ ΠΕΡΊΠΛΟΥΣ.

Ἡ [8] ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικὴ περιορίζεται ἀπὸ μὲν

[1] Μετὰ τὸ cod. — [2] στάδια σν' (250) Huds. — [3] σατραπίας Huds. — [4] ἕνα Huds. — [5] Ῥίζαν cod. et Huds. — [6] χων' Huds. — [7] Γάγγου τοῦ ποτ. cod. — [8] Ἡ omis. rubricator in cod.

metropolin, quæ Patala nuncupatur. Post tertium vero os Indi fluvii contigit et alias complurimas jacere urbes, insulæ ad modum [circumfluas]. Patet autem Gedrosia in longitudinem stadia 6,600, in latitudinem vero stadia 5,250. Continet autem provincias sive satrapias 8, civitates vero et vicos insignes 12, montem maximum 1, fluvium magnum 1, portum insignem 1, insulas insignes 2. Gedrosiæ [regionis] littoralis a Musarnis civitate ad Rhizana stadia universa sunt 3,800.

9. INDIÆ INTRA GANGEM FLUVIUM, UT ET SINUUM ET INSULARUM AD EAM PERTINENTIUM PERIPLUS.

Quæ intra Gangem fluvium est India definitur quidem a septentrionibus Imao monte, juxta superjacentes

ἄρκτων τῷ Ἰμάῳ ὄρει παρὰ τοὺς ὑπερκειμένους αὐτοῦ Σογδιανοὺς καὶ Σάκας· ἀπὸ δὲ δύσεως πρὸς μὲν τῇ θαλάσσῃ τῇ προειρημένῃ Γεδρωσίᾳ· κατὰ δὲ τὴν μεσόγειον τῇ Ἀραχωσίᾳ καὶ ἀνωτέρω τοῖς Παροπαμισάδαις [1]· ἀπὸ δὲ ἀνατολῶν τῷ Γάγγῃ ποταμῷ· ἀπὸ δὲ μεσημβρίας τῷ Ἰνδικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη. Ὁ δὲ πᾶς περίπλους ἀπὸ τοῦ Ναυστάθμου λιμένος [2] μέχρι τοῦ Κώρυ [3] ἀκρωτηρίου τοῦ μέρους τοῦ προειρημένου τῆς ἐντὸς Γάγγου Ἰνδικῆς [ἐστὶ] στάδια αψκε'.

ΤΑΠΡΟΒΑΝΗΣ ΝΗΣΟΥ ΠΕΡΙΠΛΟΥΣ.

Τῷ [4] ἀκρωτηρίῳ τῆς Ἰνδικῆς τῷ καλουμένῳ Κώρυ ἀντίκειται τὸ τῆς Ταπροβάνης νήσου ἀκρωτήριον τὸ καλούμενον

[1] Παροπανισάδες cod. — [2] λιμένος omis. Huds. — [3] Κωρὺ cod. Κόρυ Huds. — [4] in Τῷ littera T omissa a rubricatore.

sibi Sogdianos et Sacas : ab occasu autem mare quidem versus Gedrosia prædicta; juxta mediterraneam Arachosia, et superius regione Paropamisadum : ab oriente vero Gange fluvio : a meridie Indico pelago. Et generalis quidem ejus descriptio hunc in modum se habet. Universus autem periplus partis prædictæ Indiæ intra Gangem a Naustathmo portu usque ad Cory promontorium [continet] stadia 1,725.

10. TAPROBANÆ INSULÆ PERIPLUS.

Promontorio Indiæ, quod Cory appellatur, opponitur promontorium Taprobanæ insulæ Boreum nuncupatum.

Βόρειον[1]. Ἡ δὲ Ταπροβάνη νῆσος πρότερον μὲν ἐκαλεῖτο Παλαισιμούνδου[2], νῦν δὲ Σαλικὴ. Τοῦτο δὲ τὸ ἀκρωτήριον τῆς νήσου τὸ ἀντικείμενον τῷ Κώρυ, ὅπερ ἔφαμεν καλεῖσθαι Βόρειον[3] ἄκρον, ἀπέχει ἀπὸ μὲν τοῦ ἀνατολικοῦ ὁρίζοντος στάδια ϛϛυξ'[4]. Ἀπὸ δὲ τοῦ δυτικοῦ ὁρίζοντος στάδια ϛ καὶ αχκϛ'[5]. Ἀπὸ δὲ μεσημβρίας καὶ ἰσημερίας ὡς πρὸς ἄρκτους στάδια ϛτν'. Μετὰ δὲ τὸ Βόρειον τοίνυν ἀκρωτήριον, ἡ ἄλλη περιγραφὴ καὶ ὁ περίπλους τῆς Ταπροβάνης νήσου τὸν τρόπον ἔχει τοῦτον· κατὰ μὲν διάμετρον τῷ μήκει στάδια ϑφ'[6], τῷ δὲ πλάτει στάδια ζφ'. Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας[7] ιγ', πόλεις δὲ ἐπισήμους καὶ ἐμπόρια κβ'[8], ὄρη ἐπίσημα β',

[1] Βόριον· ἡ δὲ Ταπροβάνης cod. — [2] Παλαισιμουνδοῦ cod. Πάλαι σιμούνδου Huds. — [3] Βόριον ut paulo post cod. — [4] στάδια ηϛυξ' (16,460) Huds. — [5] στάδια ϛή 4χας (62,026) Huds. — [6] στάδια σθφ' Huds. — [7] σατραπίας cod. et Huds. — [8] ἐμπόρια αβ' Huds.

Taprobana autem insula, prius quidem vocabatur Palæsimundi [insula], nunc vero Salice. Hoc autem insulæ promontorium Cory oppositum, quod Boreum appellari diximus, distat quidem ab horizonte orientali stadia 26,460. Ab occidentali stadia 61,626. A meridie autem et æquatore quasi septentrionem versus stadia 6,350. Post Boreum igitur promontorium, reliqua circumscriptio et periplus insulæ Taprobanæ est ad hunc modum : in longitudine quidem per diametrum stadia 9,500, in latitudine vero stadia 7,500. Habet autem gentes sive satrapias 13, urbes insignes et emporia 22, montes insignes 2, fluvios insignes 5,

ποταμοὺς ἐπισήμους ε', ἀκρωτήρια ἐπίσημα η', λιμένας ἐπισήμους δ', κόλπους μεγάλους β', αἰγιαλὸν μέγαν α'. Οἱ πάντες τοῦ περίπλου τῆς Ταπροβάνης νήσου στάδιοι ϛϛτπε'. Καὶ περὶ μὲν τῆς Ταπροβάνης νήσου τοσαῦτα εἰρήσθω. Πάλιν δὲ ἐπανήξομεν ἐπὶ τὸν παράπλουν τῆς ἐντὸς Γάγγου Ἰνδικῆς.

ΤΟΥ ΓΑΓΓΗΤΙΚΟΥ [1] ΚΟΛΠΟΥ ΠΕΡΙΠΛΟΥΣ.

......Ἀπὸ τοῦ ἀφετηρίου τούτου ἐκδέχεται ὁ Γαγγητικὸς καλούμενος κόλπος μέγιστος ὢν σφόδρα, οὗ κατὰ τὸν μυχὸν ὁ Γάγγης[2] ἔξεισι ποταμὸς, πέντε στόμασι τὴν ἐκβολὴν ποιούμενος, ὃν ἔφαμεν ὅριον εἶναι τῆς ἐντὸς Γάγγου Ἰνδικῆς καὶ τῆς ἐκτός. Ἔστι δὲ τῆς ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικῆς τὸ

[1] Γαγγιτικοῦ cod. ut infra. — [2] Γάγγος cod.

promontoria insignia 8, portus insignes 4, sinus magnos 2, littus magnum 1. Peripli insulæ Taprobanæ stadia omnia sunt 26,385. Et de insula quidem Taprobana hæc dicta sunto. Rursum vero revertemur ad præternavigationem Indiæ intra Gangem.

II. SINUS GANGETICI PERIPLUS.

......Apheterion hoc [sive locum unde solvunt in Chrysen navigantes] excipit sinus valde magnus, Gangeticus appellatus, cujus juxta recessum Ganges fluvius exit [in mare,] per quinque ostia [sese] exonerans; quem terminum esse diximus Indiæ intra Gangem et [Indiæ] extra [Gangem.] Longitudo autem Indiæ intra

μὲν μῆκος, ᾗ μακροτάτη τυγχάνει, ἀπὸ τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ λεγομένου Ἀντιβολὴ ἕως τοῦ Ναυστάθμου λιμένος, τοῦ ἐν τῷ Κάνθει κόλπῳ, στάδια [1] ͵αησ ζ'. Τὸ δὲ πλάτος ἀπὸ τοῦ ἀκρωτηρίου τοῦ καλουμένου Ἀφετηρίου, ἕως τῶν πηγῶν τοῦ Γάγγου ποταμοῦ, στάδια ͵αγ. Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας [2] νδ', πόλεις δὲ καὶ κώμας καὶ ἐμπόρια ἐπίσημα σις', ὄρη ἐπίσημα ς', ποταμοὺς ἐπισήμους κγ', ἀκρωτήρια ἐπίσημα β', λιμένα ἐπίσημον α', κόλπους ἐπισήμους ε', στόματα ἐπίσημα ποταμῶν ιβ', ἀφετήριον ἐπίσημον α', συμβολὰς ποταμῶν ἐπισήμων ι', νήσους ἐπισήμους θ'. Οἱ πάντες ἀπὸ τοῦ Ἀφετηρίου μέχρι τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ [3] τοῦ καλουμένου Ἀντιβολὴ τοῦ περίπλου τοῦ μέρους τοῦ Γαγγητικοῦ κόλπου

[1] στάδιοι Huds. ut paulo post. — [2] σατραπίας cod. — [3] τοῦ Γάγγου ποταμοῦ omis. Huds.

Gangem fluvium, qua maxime patet, a quinto Gangis fluvii ostio, quod Antibole dicitur, usque ad Naustathmum portum, qui in sinu [appellato] Canthi, est stadia 18,290. Latitudo vero, a promontorio, quod vocatur Apheterion, usque ad fontes Gangis fluvii, stadia 13,000. Habet autem gentes sive satrapias 54, urbes vero et vicos et emporia insignia 216, montes insignes 6, fluvios insignes 23, promontoria insignia 2, portum insignem 1, sinus insignes 5, ostia fluviorum insignia 12, apheterion insigne 1, fluviorum insignium confluentes 10, insulas insignes 9. Peripli partis sinus Gangetici, ab Apheterio usque ad quintum Gangis fluvii ostium, quod Antibole appellatur, stadia omnia sunt 5,660.

στάδιοι ͵εχξʹ. Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ Ναυστάθμου λιμένος ἕως τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ, ὃ καλεῖται[1] Ἀντιβολὴ, τοῦ περίπλου παντὸς τῆς ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικῆς στάδιοι ͵γ͵εχϛεʹ.

ΙΝΔΙΚΗΣ[2] ΤΗΣ ἘΚΤΟΣ ΓΑΓΓΟΥ ΠΟΤΑΜΟΥ ΚΑῚ ΤΩΝ ἘΝ ΑΥΤΗ͂Ι ΚΟΛΠΩΝ ΠΕΡΙΠΛΟΥΣ.

Ἡ Ἰνδικὴ ἡ ἐκτὸς Γάγγου ποταμοῦ περιορίζεται ἀπὸ μὲν ἄρκτων τοῖς μέρεσι τῆς Σκυθίας καὶ τῆς Σηρικῆς· ἀπὸ δὲ δύσεως αὐτῷ τῷ Γάγγῃ ποταμῷ· ἀπὸ δὲ ἀνατολῶν τοῖς Σίναις μέχρι τοῦ καλουμένου Μεγάλου κόλπου, καὶ αὐτῷ τῷ κόλπῳ· ἀπὸ δὲ μεσημβρίας[3] τῷ τε Ἰνδικῷ πελάγει, καὶ

ποταμοῦ ἐκβολῶν εἰς Κουρίαννον ἀκρωτήριον εἰσὶ στάδια φ στάδια το'. Ἀπὸ δὲ Κουριάννου ἐπὶ Γαρούμνα [1] ποταμο ἐκβολὰς μεγέθους ὄντος ν', στάδια χ', [στάδια] υλ'. Απ δὲ τῶν ἐκβολῶν τοῦ Γαρούμνα ποταμοῦ εἰσὶν ἐπὶ τὰς πηγὰ αὐτοῦ στάδια τ', στάδια χ'. Ἀνακλεύσαντι δὲ τῷ Γαρούμν ποταμῷ κεῖται πόλις τῆς Ἀκυτανίας Βουρδιγάλα [2]. Ἐνταῦθ παροικοῦσι Σάντονες, ὧν πόλις Μεδιόλανον [3] ἐπὶ θαλάσσ κειμένη παρὰ τὸν Γαρούμναν [4] ποταμόν. Ἀπὸ δὲ Γαρούμν ποταμοῦ ἐκβολῶν [5] ἐπὶ Σαντόνων ἄκρον, στάδια υοε', στά δια τκε'. Ἀπὸ δὲ Σαντόνων ἄκρου [6] ἐπὶ Κανεντέλου [7] ποτα μοῦ ἐκβολὰς [8] στάδια φξ', στάδια φν'. Ἀπὸ δὲ Κανεντέλο ποταμοῦ ἐκβολῶν [9] ἐπὶ Πικτόνιον ἄκρον στάδια σι', στάδι

[1] Γαρούννα cod. ut paulo post. — [2] Βουράταλα cod. et Huds. — [3] Με διολάνιον cod. Μεδιωλάνιον Huds. — [4] Γαρούμνα cod. — [5] ἐκβολὰς cod — [6] ἄκρον cod. — [7] Κανεντέλλου cod. ut paulo post. — [8] ἐκβολῶν Huds — [9] ἐκβολῶν omis. cod.

sunt 500, stadia 370. A Curianno autem ad ostia Ga rumnæ fluvii (stadia 50 in amplitudinem patentis) stadi 600, [stadia] 430. Ab ostiis vero Garumnæ fluvii sunt a fontes ejusdem stadia 300, stadia 600. Naviganti au tem super Garumna fluvio objacet urbs Aquitaniæ Bur digala. Hic habitant Santones, quorum urbs Mediola num ad mare posita juxta Garumnam fluvium. Al ostiis vero Garumnæ fluvii ad Santonum promontorium stadia 475, stadia 325. A Santonum vero promontori ad ostia Canenteli fluvii stadia 560, stadia 550. Ab os tiis autem Canenteli fluvii ad Pictonium promontorium stadia 210, stadia 150. A Pictonio vero promontori

ρν'. Ἀπὸ δὲ Πικτονίου [1] ἄκρου ἐπὶ Σικὸρ λιμένα στάδια τ', στάδια σϞ'. Ἀπὸ δὲ Σικὸρ λιμένος ἐπὶ Λείγηρος [2] ποταμοῦ ἐκβολὰς μεγίστου τυγχάνοντος καὶ ὄντος μεγέθους..... στάδια ρπε', στάδια ρνε'. Παροικοῦσι δὲ τῷ ποταμῷ Ναμνῖται [3] τὸ ἔθνος. Ἔστι [4] δὲ τῆς Ἀκυτανίας τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τῶν τοῦ Ἀτούριος [5] ποταμοῦ [6] ἐκβολῶν, περαιούμενον δὲ εἰς Αὐαρικὸν [7] πόλιν, ὡς εἶναι κατὰ τῆς μεγίστης γραμμῆς στάδια ͵αυη'. Τὸ δὲ πλάτος τῆς Ἀκυτανίας ἄρχεται μὲν ἀπὸ τοῦ πρὸς τῇ Πυρήνῃ [8] πέρατος, καταλήγει δὲ μέχρι τῆς πρὸς τὴν μεσημβρίαν ἐπιστροφῆς τοῦ Λείγηρος [9] ποταμοῦ, ὡς γίνεσθαι στάδια ͵ασν'. Ἔστι δὲ ὁ τῆς μεσογείας αὐτῆς περιορισμὸς οὐ πλεῖον στάδια ͵θψο', οὐχ ἧττον ͵ητο'.

[1] Πικτουνίου cod. — [2] Αἴγιρος cod. et Huds. — [3] Σαπινιταὶ cod. et Huds. — [4] Ἐπὶ δὲ τῆς cod. ἐπεὶ δὲ τῆς Huds. — [5] Ἀτουρίου cod. et Huds. — [6] ποταμῶν cod. — [7] Ἀβαρικὸν Huds. — [8] τῆς Πυρίνης cod. ubi tamen manus prior Πυρήνης. — [9] Αἴγερος cod. Αἴγηρος Huds.

ad portum Sicor stadia 300, stadia 290. A portu autem Sicor ad ostia Ligeris fluvii (maximi quidem et in latitudinem patentis....) stadia 185, stadia 155. Fluvium vero accolit gens Namnitarum. Aquitaniæ vero longitudo exorditur quidem ab ostiis Aturii fluvii, terminatur autem ad civitatem Avaricum, adeo ut secundum maximam lineam sit stadiorum 1,408. Latitudo vero Aquitaniæ incipit quidem a termino ad Pyrenem, desinit autem usque quo Ligeris fluvius flectitur ad meridiem, ut sit stadiorum 1,250. Est autem circumscriptio ejus juxta mediterranea non plus stadiis 9,770, non minus 8,370. Gentes vero habet 16,

Ἔχει δὲ ἔθνη ιϛʹ, πόλεις ἐπισήμους ιϛʹ, ποταμοὺς [1] ἐπισήμους εʹ, ἀκρωτήρια ἐπίσημα [2] δʹ, λιμένα ἐπίσημον αʹ. Οἱ πάντες ἀπὸ τοῦ Οἰάσσω [3] τοῦ τῆς Πυρήνης ἀκρωτηρίου μέχρι τῶν τοῦ Λείγηρος [4] ποταμοῦ ἐκβολῶν, τοῦ περίπλου τῆς παραλίας Ἀκυτανίας, εἰσὶν οὐ πλείους στάδιοι [5] ͵δωʹ, οὐχ ἧττον σταδίων ͵γφκεʹ [6].

ΛΟΥΓΔΟΥΝΗΣΙΑΣ ΠΕΡΙΠΛΟΥΣ.

Ἡ Λουγδουνησία Γαλλία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ Βρεταννικῷ [7] ὠκεανῷ, ἀπὸ δὲ ἀνατολῶν τῇ Βελγικῇ [8] ἐπαρχίᾳ κατὰ τὸν Σηκοάναν [9] ποταμὸν, ἀπὸ δὲ δυσμῶν τῷ Ἀκυτανικῷ ὠκεανῷ, ἀπὸ δὲ μεσημβρίας μέρει [10] τῆς Ναρβωνησίας ἐπαρχίας. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦ ἔθνους τούτου

[1] ποταμὸς Huds. mendose. — [2] ἐπίσημα omis. Huds. — [3] Οὐάσσω Huds. — [4] Λίγιρος cod. μέχρι τοῦ Λίγερος Huds. — [5] πλείω στάδια cod. et Huds. — [6] στάδια γφαε' Huds. — [7] Πρεττανικῷ cod. Πρετανικῷ Huds. — [8] Βελτικῇ cod. mendose. — [9] Στικόανον cod. et Huds. — [10] μέχρι Huds.

urbes insignes 16, fluvios insignes 5, promontoria insignia 4, portum insignem 1. Universa [stadia] peripli Aquitaniæ maritimæ, ab Œasso Pyrenes promontorio usque ad ostia Ligeris fluvii, sunt non plura stadiis 4,800, non pauciora stadiis 3,525.

8. LUGDUNENSIS PERIPLUS.

Gallia Lugdunensis terminatur a septentrione quidem Britannico oceano; ab oriente Belgica provincia ac Sequanam fluvium; ab occidente Aquitanico oceano a meridie vero parte provinciæ Narbonensis. Ac uni

ἔχει τὸν τρόπον. Τὸ δὲ τῆς Λουγδουνησίας μῆκος [ἐστὶν] ἀπὸ τοῦ Γοβαίου[1] ἀκρωτηρίου ἀρχόμενον καὶ καταλῆγον κατὰ τὴν ἀνατολικὴν πλευρὰν, καθ' ἣν συνῆπται[2] τῇ Βελγικῇ κατὰ τὸν Σηκοάναν[3] ποταμὸν, ὡς εἶναι τοῦ μήκους στάδια[4] γτοϛ'. Τὸ δὲ πλάτος τῆς Λουγδουνησίας ἄρχεται μὲν ἀπὸ τῆς μεσημβρίας ἀπὸ Καβαλλίνου[5] πόλεως, καταλήγει δὲ εἰς Σηκοάνα[6] ποταμοῦ ἐκβολὰς, ὡς εἶναι καὶ τοῦ πλάτους στάδια ͵γπ'[7]. Ἔστι δὲ ὁ κατὰ γῆν περίδρομος τῆς ἐπαρχίας στάδια ͵ζσϙ', στάδια ͵ϛυκ'. Ἔχει δὲ ἔθνη κε', πόλεις ἐπισήμους κϛ', ὄρος ἐπίσημον α', ποταμοὺς ἐπισήμους δ', ἀκρωτήριον ἐπίσημον α', λιμένας ἐπισήμους γ'. Οἱ πάντες ἀπὸ τῶν ἐκβολῶν τοῦ Λείγηρος[8] ποταμοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Ση-

[1] Γεβαίου cod. et Huds. — [2] συνάπτει Huds. — [3] Σηκόλλιον cod. et Huds. — [4] στάδιοι Huds. — [5] Καβυλλίνου cod. Καβολλίνου Huds. — [6] Σηκόανα cod. et Huds. — [7] στάδια γο' Huds. — [8] Λίγιρος cod. et Huds.

versa quidem provinciæ circumscriptio ad hunc modum se habet. Longitudo autem Lugdunensis incipit a Gobæo promontorio et desinit ad orientale latus, ubi conjunctum est Belgicæ ad Sequanam fluvium, adeo ut habeat stadia 3,376 longitudinis. Latitudo vero Lugdunensis incipit ad meridiem ab urbe Caballino, desinit autem ad ostia Sequanæ fluvii, ut latitudinis etiam stadia sint 3,080. Est autem ambitus provinciæ juxta mediterranea stadiorum 7,290, stadiorum 6,420. Habet vero gentes 25, urbes insignes 26, montem insignem 1, fluvios insignes 4, promontorium insigne 1, portus insignes 3. Universa peripli oræ maritimæ Lugdunensis, ab

κοάνα[1] *ποταμοῦ τοῦ περίπλου τῆς παραλίας Λουγδουνησίας στάδιοι*[2] *γτο', στάδιοι γξε'.*

ΒΕΛΓΙΚΗΣ[3] ΣΥΝ ΓΕΡΜΑΝΙΑ[4] ΤΗ ΑΝΩ ΚΑΙ ΤΗ ΚΑΤΩ ΠΕΡΙΠΛΟΥΣ.

Ἡ Βελγικὴ σὺν ταῖς δύο Γερμανίαις περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ ἀρκτῴῳ ὠκεανῷ τῷ παρὰ τὴν Βρετανναν[5] διήκοντι· ἀπὸ δὲ ἀνατολῶν τῷ Ῥήνῳ ποταμῷ, παρὰ τὴν μεγάλην Γερμανίαν πρὸς τῇ κεφαλῇ τοῦ ποταμοῦ, καὶ ἔτι τῷ ἀπὸ τῆς πηγῆς αὐτοῦ ἐπὶ τὰς Ἄλπεις ὄρει[6] ὃ καλεῖται Ἀδούλας· ἀπὸ δὲ δύσεως τῇ Λουγδουνησίᾳ ἐπαρχίᾳ καὶ τῷ προειρημένῳ Σηκοάνᾳ ποταμῷ· ἀπὸ δὲ μεσημβρίας τῷ λοιπῷ

[1] Σικόανα cod. Σηκόανα Huds. — [2] στάδια Huds. ut infra. — [3] Βελτικῆς cod. mendose ut infra. — [4] σὺν Γερμανίας τῆς ἄνω καὶ τῆς κάτω cod. et Huds. — [5] Πρετανίαν cod. Πρεταννίαν Huds. — [6] Ἀλιεῖς ὄρη cod.

ostiis Ligeris fluvii usque ad ostia Sequanæ fluvii, stadia 3,370, stadia 3,065.

9. BELGICÆ CUM GERMANIA SUPERIORI ET INFERIORI PERIPLUS.

Belgica cum duabus Germaniis terminatur a septentrione quidem septentrionali oceano juxta Britanniam exporrecto : ab oriente vero Rheno fluvio juxta Germaniam magnam ad caput fluvii, ac etiam monte a fonte ejus ad Alpes pertingente, qui vocatur Adulas : ab occidente autem Lugdunensi provincia et prædicto Sequana fluvio : a meridie vero reliqua parte Narbo-

μέρει τῆς Ναρβωνησίας. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦ ἔθνους τοιαύτη τίς ἐστι. Καὶ γὰρ ἀπὸ μὲν θαλάσσης μέχρι τοῦ Ὀβρίγγα [1] ποταμοῦ καλεῖται Γερμανία ἡ κάτω, ἡ δὲ ἀπὸ τοῦ Ὀβρίγγα ποταμοῦ καλεῖται Γερμανία ἡ ἄνω. Ἔστι δὲ τῆς Βελγικῆς [2] σὺν ταῖς δύο Γερμανίαις τὸ μῆκος ἀπὸ τῶν τοῦ Φρούδιος [3] ποταμοῦ ἐκβολῶν ἀρχόμενον, καὶ περαιούμενον πρὸς ἀνατολὰς τῷ Ῥήνῳ ποταμῷ τῷ παρὰ τὴν μεγάλην Γερμανίαν πρὸς τῇ κεφαλῇ τοῦ ποταμοῦ [4]· ὡς εἶναι τοῦ [5] μήκους [6] στάδια ϛχπε΄. Τὸ δὲ πλάτος αὐτῆς ἄρχεται μὲν ἀπὸ τοῦ Ἀδούλου ὄρους [7] καὶ τοῦ κοινοῦ πέρατος τῶν Ἄλπεων, καταλήγει δὲ εἰς τὸ [8] δυσμικὸν τοῦ Ῥήνου ποταμοῦ στόμα· ὡς γίνεσθαι τοῦ πλάτους στάδια ϕτοε΄. Ἔστι δὲ τῆς Βελγικῆς [9]

[1] Ἀβρίκκα cod. et Huds. ut paulo post. — [2] Βελτικῆς cod. — [3] Φρούνου cod. et Huds. — [4] πομοῦ Huds. — [5] αὐτοῦ cod. et Huds. — [6] μῆκος Huds. — [7] Ἀδουλλόρους cod. — [8] τὸ omis. Huds. — [9] Κελτικῆς cod.

nensis. Ac universa quidem provinciæ circumscriptio est ad hunc fere modum. Etenim a mari quidem usque ad Obringam fluvium Germania inferior appellatur, ab Obringa vero fluvio appellatur Germania superior. Belgicæ autem cum duabus Germaniis longitudo incipit ab ostiis Phrudis fluvii, et terminatur ad orientem Rheno fluvio juxta Germaniam magnam ad caput fluvii : adeo ut longitudo sit stadiorum 2,685. Latitudo vero ejus incipit ab Adula monte et communi fine Alpium, desinit autem ad occidentale ostium Rheni fluvii, ut latitudinis habeat stadia 4,375. Est vero tota Belgicæ provinciæ juxta mediterranea circumscriptio stadiorum

ὁ πᾶς τῆς ἐπαρχίας κατὰ γῆν περιορισμὸς στάδια ͵ᾳερξʹ, στάδια ͵ᾳϛτʹ [1]. Ἔχει δὲ ἡ Βελγικὴ [2] σὺν ταῖς Γερμανίαις ἔθνη κδʹ, πόλεις ἐπισήμους ληʹ, ὄρη ἐπίσημα βʹ, ποταμοὺς ἐπισήμους ζʹ, ἀκρωτήριον ἐπίσημον αʹ [3]. Οἱ πάντες ἀπὸ τοῦ Σηκοάνα ποταμοῦ μέχρι τοῦ Ῥήνου ποταμοῦ, τουτέστι [4] τοῦ λεγομένου δυσμικοῦ στόματος αὐτοῦ, τοῦ περίπλου παντὸς τῆς Βελγικῆς [5] παραλίας σὺν Γερμανίᾳ τῇ ἄνω καὶ τῇ κάτω εἰσὶν οὐ πλείους σταδίων ͵γωνʹ, οὐχ ἧττον σταδίων ͵γρπʹ.

ΓΕΡΜΑΝΊΑΣ ΜΕΓΆΛΗΣ ΠΕΡΊΠΛΟΥΣ.

Ἡ Γερμανία ἡ μεγάλη περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ καλουμένῳ Γερμανικῷ [6] ὠκεανῷ· ἀπὸ δὲ ἀνατολῶν τοῖς Σαρ-

[1] στάδια . . . ͵ερξ, στάδια . . . ͵ϛτ Huds. — [2] Κελτικὴ Huds. — [3] ἓν Huds. — [4] ποταμοῦ τοῦ λεγ. δυσ. στόματος, αὐτοῦ cod. et Huds. — [5] Κελτικῆς cod. — [6] Γερμανίῳ cod. et Huds.

15,160, stadiorum 12,300. Habet vero Belgica cum Germaniis gentes 24, urbes insignes 38, montes insignes 2, fluvios insignes 7, promontorium insigne 1. Universa peripli totius Belgicæ littoralis cum Germania superiori et inferiori, a Sequana fluvio usque ad Rhenum fluvium, hoc est ad ostium ejus quod occidentale appellatur, stadia sunt non plura 3,850, non pauciora stadiis 3,180.

10. GERMANIÆ MAGNÆ PERIPLUS.

Germania magna terminatur a septentrione quidem oceano Germanico appellato : ab oriente autem monti-

ματικοῖς ὄρεσι, καὶ μετὰ τὰ ὄρη τῇ κεφαλῇ τοῦ Οὐϊστοῦλα ποταμοῦ, καὶ ἔτι αὐτῷ τῷ ποταμῷ· ἀπὸ δὲ μεσημβρίας τοῦ Δανουβίου ποταμοῦ τῷ δυσμικῷ μέρει· (ἔστι δὲ ὁ Δανούβιος ἀρχόμενος μὲν μεγέθους α'[1] [στάδιον], εἶτα β', καὶ ἑξῆς μεγέθους γ', ἀμείβων καὶ τὸ ὄνομα καὶ Ἴστρος καλούμενος·) ἀπὸ δὲ δύσεως[2] τῷ Ῥήνῳ ποταμῷ. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τῆς χώρας οὕτως ἔχει· τὰ δὲ κατὰ μέρος λέξομεν. Ἀπὸ τῶν ἐκβολῶν τοῦ Ῥήνου ποταμοῦ, τοῦτ' ἔστιν ἀπὸ τοῦ λεγομένου δυσμικοῦ στόματος αὐτοῦ, εἰς Οὐίδρου[3] ποταμοῦ ἐκβολὰς στάδια τπ'. Ἀπὸ δὲ τοῦ Οὐίδρου ποταμοῦ εἰς Μαραρμανὸν λιμένα στάδια τν', στάδια σν'. Ἀπὸ δὲ Μαραρμανοῦ λιμένος εἰς Ἀμασίου ποταμοῦ ἐκβολάς εἰσι στάδια χνε', στάδια υο'.

[1] μέγεθος γ'. εἶτα β'. καὶ ἑξῆς μέγεθος α. cod. et Huds. — [2] δύσιος Huds. — [3] εἰς τοῦ Ἴδρου cod.

bus Sarmaticis, ac post montes capite Vistulæ fluvii, atque etiam fluvio ipso [usque ad mare] : a meridie vero Danubii fluminis parte occidua : (est autem Danubius ad principium ejus latus [stadium] unum, postea duo, ac deinde tria, [ubi] nomen etiam mutat ac Ister appellatur) : ab occidente vero Rheno fluvio. Ac universa quidem regionis circumscriptio sic se habet; quæ autem sigillatim dicenda recensebimus. Ab ostiis Rheni fluvii, hoc est ab ore ejus occidentali dicto, ad ostia Vidri fluvii stadia 380. A Vidro autem fluvio ad Mararmanum portum stadia 350, stadia 250. A Mararmano portu ad ostia Amasii fluvii sunt stadia 655, stadia 470. Ab ostiis vero Amasii fluvii ad fontes ejusdem

Ἀπὸ δὲ τῶν τοῦ Ἀμασίου ποταμοῦ ἐκβολῶν εἰς τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδια ϛτν', στάδια ατ'. Ἀπὸ δὲ Ἀμασίου ποταμοῦ ἐκβολῶν εἰς Οὐϊσούργιος [1] ποταμοῦ ἐκβολὰς στάδια φξ'. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Οὐϊσούργιος [2] ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδια αψπ', στάδια αχ'. Ἀπὸ δὲ Οὐϊσούργιος [3] ποταμοῦ εἰς Ἄλϐιος [4] ποταμοῦ ἐκβολὰς στάδια [5] χκε'. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Ἄλϐιος ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδια ετο', στάδια [6] γτ'. Κατὰ τοῦτο τὸ μέρος κεῖνται νῆσοι αἱ καλούμεναι Σαξόνων. Εἰσὶ δ' ἐπ' αὐτὰς ἀπὸ τῆς ἐκβολῆς τοῦ Ἄλϐιος ποταμοῦ στάδια ψν'. Ἀπὸ δὲ τοῦ Ἄλϐιος ποταμοῦ ἐκδέχεται ἡ καλουμένη Κιμϐρικὴ χερσόνησος μεγίστη τυγχάνουσα. Καὶ ἔστιν ἀπὸ τῶν τοῦ Ἄλϐιος ποταμοῦ ἐκβολῶν ἐπὶ τὴν πρώτην ἐξοχὴν τῆς

[1] Οὐργίου cod. et Huds. — [2] Ἰσουργίου cod. Οὐισσουργίου Huds. — [3] Ἰσουργίου cod. et Huds. — [4] Ἀλϐίου cod. et Huds. et sic ubique. — [5] στάδιοι Huds. — [6] στάδιοι Huds. ut paulo post.

fluvii stadia 2,350, stadia 1,300. Ab ostiis autem Amasii fluvii ad ostia Visurgis fluvii stadia 560. Ab ostiis fluvii Visurgis ad fontes ejusdem fluvii stadia 1,780, stadia 1,600. A Visurgi autem fluvio ad ostia Albis fluvii stadia 625. Ab ostiis vero Albis fluvii ad fontes ejusdem fluvii stadia 5,370, stadia 3,300. Juxta hanc [Germaniæ] partem adjacent insulæ Saxonum appellatæ. Ab ostio vero Albis fluvii ad ipsas sunt stadia 750. Post Albim autem fluvium sequitur chersonesus maxima Cimbrica appellata. Ac ab ostiis Albis fluvii ad primam extensionem chersonesi, quæ post Albim

χερσονήσου, τὴν μετὰ τὸν Ἄλβιν [1] ποταμὸν κειμένην, στάδια φο', στάδια υ'. Ἀπὸ δὲ τῆς πρώτης ἐξοχῆς τῆς χερσονήσου ἐπὶ τὴν ἐφεξῆς κειμένην ἐξοχὴν τῆς αὐτῆς χερσονήσου στάδια ͵αχ', στάδια ͵αρ'. Ἀπὸ δὲ τῆς δευτέρας ἐξοχῆς τῆς χερσονήσου εἰς τὴν ἐφεξῆς καὶ ἀρκτικωτάτην ἐξοχὴν τῆς αὐτῆς χερσονήσου στάδια ͵αυν', στάδια ͵αρν'. Ἀπὸ δὲ τῆς ἀρκτικωτάτης ἐξοχῆς τῆς χερσονήσου εἰς τὴν μετὰ τὴν ἐπιστροφὴν αὐτῆς πρώτην ἐξοχὴν στάδια χν', στάδια φν'. Ἀπὸ δὲ τῆς μετὰ τὴν ἐπιστροφὴν αὐτῆς πρώτης ἐξοχῆς εἰς ἀνατολικώτατον αὐτῆς στάδια ψκ', στάδια φκ'. Ἀπὸ δὲ τοῦ ἀνατολικωτάτου αὐτῆς τῆς χερσονήσου [2] ἐπὶ τὴν ὑπὸ τὴν ἐξοχὴν αὐτῆς ἐφεξῆς στάδια ς, στάδια ͵αφ'. Ἀπὸ δὲ τῆς ὑπὸ τὴν ἐξοχὴν αὐτῆς ἐπὶ τὴν πρὸς τὰς ἀνατολὰς ἐπιστροφὴν αὐτῆς στάδια

[1] Ἄλβιον cod. et Huds. — [2] αὐτῆς χερσονήσου Huds.

fluvium est, stadia sunt 570, stadia 400. A prima autem prominentia chersonesi ad proxime subsequentem prominentiam ejusdem chersonesi stadia 1,600, stadia 1,100. A secunda vero prominentia chersonesi ad eam quæ deinceps sequitur, et maxima septentrionalis est porrectio ejusdem chersonesi, stadia 1,450, stadia 1,150. A prominentia autem chersonesi maxime septentrionali ad primam post flexionem ejus prominentiam stadia 650, stadia 550. A prima vero prominentia post flexionem ejus ad partem ejus maxime orientalem stadia 720, stadia 520. A parte vero ipsius chersonesi maxime orientali ad prominentiam primam post eam prominentiam stadia 2,000, stadia 1,500. A prominentia vero prima

ϛξ', στάδια ψν'. Ἐνταῦθα τῆς Κιμϐρικῆς χερσονήσου ὁ περίπλους πληροῦται, ἐπὶ πολὺ μὲν διηκούσης εἰς τὸν ὠκεανὸν πλαγίας δὲ παραϐεϐλημένης ἐπὶ τὴν ἤπειρον τὴν πρὸς τὴν ἕω· ὡς ἀποτελεῖν καὶ κόλπον μέγιστον κατὰ τὸν Σύηϐον ποταμὸν ἐπὶ τὴν γῆν [2] ἐνδοτέρω καὶ αὐτοῦ παρεκτεινόμενον. Ἔστι δὲ ὁ πᾶς τῆς χερσονήσου περίπλους στάδια ηv', στάδια ζτο' [3]. Κατοικεῖ δὲ τὸν μὲν αὐχένα τῆς χερσονήσου ἔθνος τῶν καλουμένων Σαξόνων [4]· αὐτὴν δὲ τὴν χερσόνησον ἔθνη πλεῖστα. Ὑπὲρ δὲ τὴν χερσόνησον κεῖνται νῆσοι τρεῖς Ἀλοκίαι καλούμεναι· εἰσὶ δ' ἐπ' αὐτὰς ἀπὸ τῆς χερσονήσου στάδια φν', στάδια φ'. Ἀπ' ἀνατολῶν δὲ τῆς χερσονήσου κεῖνται νῆσοι δ' αἱ καλούμεναι Σκανδίαι, τρεῖς μὲν μικραὶ

[1] Σύμϐον cod. et Huds. — [2] γῆν omiser. cod. et Huds. — [3] στάδια ϛπ cod. et Huds. — [4] Ἀξόνων cod.

post eam extensionem ad flexionem chersonesi versus ortum stadia 1,060, stadia 750. Hic periplus absolvitur Cimbricæ chersonesi, longe quidem in oceanum excurrentis oblique autem vergentis ad continentem, quæ ad ortum tendit : adeo ut maximum sinum efficiat ad Suevum fluvium, in terram ipso etiam interiorem excurrectum. Est autem totus chersonesi periplus stadiorum 8,050, stadiorum 7,370. Cervicem vero chersonesi habitat gens Saxonum appellata : ipsam vero chersonesum gentes plurimæ. Supra autem chersonesum jacent insulæ tres Alociæ dictæ : ad ipsas vero chersoneso sunt stadia 550, stadia 500. Ab oriente vero parte chersonesi jacent insulæ quatuor Scandiæ

ὧν εἰς τὴν μέσην ἀπὸ τῆς χερσονήσου εἰσὶ στάδια ϛ, στάδια ͵αψ'· μία δὲ μεγίστη καὶ ἀνατολικωτάτη, καλεῖται δὲ ἰδίως καὶ αὕτη Σκανδία, κειμένη κατὰ τὰς ἐκϐολὰς τοῦ Οὐϊστούλα [1] ποταμοῦ, ἀφ' ὧν εἰσὶν εἰς αὐτὴν στάδια [2] ͵αχ', στάδια ͵ασ'. Ἔστι δὲ ὁ πᾶς τῆς Σκανδίας περίπλους στάδια ϛφ' στάδια ϛ'. Ἀπὸ δὲ τῆς πρὸς ἀνατολὰς ἐπιστροφῆς τῆς χερσονήσου ἐπὶ Συήϐου [3] ποταμοῦ ἐκϐολὰς στάδια ͵ασξ'. Ἀπὸ Συήϐου [4] ποταμοῦ ἐπὶ Οὐιάδου [5] ποταμοῦ ἐκϐολὰς στάδια ων'. Ἀπὸ δὲ τοῦ Οὐιάδου [6] ποταμοῦ ἐκϐολῶν εἰς Οὐϊστούλα [7] ποταμοῦ ἐκϐολὰς [8] εἰσὶ στάδια [9] ψ'. Ἀπὸ δὲ τῶν ἐκϐολῶν τοῦ ποταμοῦ τοῦ Οὐϊστούλα ἐπὶ τὴν κεφαλὴν τοῦ αὐτοῦ ποταμοῦ εἰσὶ στάδια ϛ, στάδια ͵αων' [10]. Ἔστι δὲ τῆς Γερμανίας τὸ μῆκος ἀρχό-

[1] Οὐίστου cod. Οὐϊστόλα Huds. — [2] στάδιοι Huds. — [3] Σύμϐου cod. et Huds. — [4] Σύκου cod. et Huds. — [5] Οὐΐλδου cod. et Huds. — [6] Ἴλδουα cod. Ἴλδου Huds. — [7] Οὐίστουλα Huds. ut paulo post. — [8] ἐκϐολὰς omis. Huds. — [9] στάδιοι Huds. ut lin. 11. — [10] στάδια ων' cod. et Huds.

nuncupatæ, tres quidem parvæ : ad eam quæ ex illis media est a chersoneso sunt stadia 2,000, stadia 1,700; una vero, maxima [earum] et maxime orientalis; vocatur autem et ipsa proprie Scandia, juxta Vistulæ fluvii ostia jacens, a quibus ad ipsam stadia sunt 1,600, stadia 1,200. Est autem totus Scandiæ periplus stadiorum 2,500, stadiorum 2,000. A flexione vero chersonesi ortum versus ad ostia Suevi fluvii stadia 1,260. A Suevo fluvio ad ostia Viadi fluvii stadia 850. A Viadi autem fluvii ostiis ad Vistulæ fluvii ostia stadia sunt 700. Ab ostiis Vistulæ fluvii ad caput ejusdem fluvii stadia sunt 2,000, stadia 1,850. Germaniæ autem lon-

μενον μὲν ἀπὸ δύσεως καὶ Ἀσκιβουργίου πόλεως, περαιοι μενον δὲ εἰς [1] Οὐϊστοῦλα ποταμοῦ ἐκβολάς· ὡς εἶναι τὸ πᾶ μῆκος τῆς ἐπαρχίας στάδια ατν'. Τὸ δὲ πλάτος αὐτῆς ἄρχετα μὲν ἀπὸ τῆς ἐκτροπῆς τοῦ πρὸς μεσημβρίαν ῥέοντος ποτα μοῦ, ὃς καλεῖται Ναράβων [2], καταλήγει δὲ πρὸς τὰς ἄρκτοι κατὰ τὴν ἐπιμηκεστέραν γραμμὴν, τουτέστι κατὰ τὴν Κιμ βρικὴν χερσόνησον καὶ τὴν ἀρκτικωτάτην αὐτῆς ἐξοχήν· ὡ εἶναι τοῦ πλάτους στάδια ςσν'. Ἔστι δὲ τῆς μεγάλης Γερμα νίας ὁ κατὰ γῆν περιορισμὸς στάδια αβτ', στάδια ασν' [3] Ἔχει δὲ ἐν αὐτῇ ἔθνη ξη', πόλεις ἐπισήμους ϟδ', ὄρη ἐπι σημα ζ' [4], ποταμοὺς ἐπισήμους ιδ' [5], Κιμβρικὴν χερσόνησοι λιμένα ἐπίσημον, Ἐρκύνιον δρυμὸν [6], Γαβρίταν [7] ὕλην. C

[1] εἰς omis. Huds. — [2] Ἀράβων cod. et Huds. — [3] στάδια . . . βτ', στάδ . . . ασν' Huds. — [4] ὄρη ἐπίσημα ξ' cod. — [5] ποτ. ἐπισ. δ' Huds. — [6] Ὀ κύνιον δρόμον cod. — [7] Γαβρῆτα cod. et Huds.

gitudo incipit quidem ab occasu et Asciburgio civitate finitur vero ad ostia Vistulæ fluvii : adeo ut integr regionis longitudo sit stadiorum 1,350. Ejus vero lat tudo incipit quidem a divertigio fluvii ad meridie fluentis qui vocatur Narabon, desinit vero ad septe trionem juxta longissimam lineam, hoc est juxta Cir bricam chersonesum et maxime septentrionalem eju extensionem; adeo ut latitudinis [habeat] stadia 6,25 Est autem Germaniæ magnæ juxta mediterranea ci cumscriptio stadiorum 12,300, stadiorum 11,25 Complectitur gentes 68, urbes insignes 94, mont insignes 7, fluvios insignes 14, Cimbricam chers nesum, portum insignem, Hercyniam sylvam, Gab

πάντες ἀπὸ τοῦ Ῥήνου ποταμοῦ, τουτέστιν ἀπὸ τοῦ καλουμένου δυσμικοῦ στόματος αὐτοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Οὐϊστούλα ποταμοῦ, τοῦ περίπλου τῆς παραλίας τῆς μεγάλης Γερμανίας στάδιοι ͵αγυ', στάδιοι ͵αλ' [1].

ΣΑΡΜΑΤΊΑΣ ΤΗ͂Σ ἘΝ ΕΥ̓ΡΏΠΗ͂Ι ΠΕΡΊΠΛΟΥΣ.

Ἡ ἐν τῇ Εὐρώπῃ Σαρματία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ τε Σαρματικῷ κατὰ τὸν Οὐενεδικὸν [2] κόλπον, καὶ μέρει τῆς ἀγνώστου γῆς, ἀπὸ δὲ ἀνατολῶν τῷ τε Ἰσθμῷ καὶ τῇ Βύκῃ λίμνῃ, καὶ τῷ μέρει τῆς Μαιώτιδος λίμνης μέχρι τοῦ Ταναΐδος ποταμοῦ, καὶ ἐφεξῆς αὐτῷ Ταναΐδι ποταμῷ, καὶ ἔτι τῷ ἀπὸ τῆς γῆς τοῦ Ταναΐδος ποταμοῦ [3], ἐπὶ τὴν ἄγνωστον

[1] στάδια. . . γ, στάδια. . . λ' Huds. — [2] Ἰνδικὸν cod. et Huds. — [3] καὶ ἐφ. αὐτ. Ταν. ποτ. καὶ ἔτι τῷ ἀπὸ τ. γ. τ. Ταν. ποταμοῦ· hæc omnia desunt in Huds.

tam sylvam. Peripli oræ maritimæ Germaniæ magnæ, a Rheno fluvio, hoc est ab ostio ejus quod occidentale appellatur, usque ad ostia Vistulæ fluvii, stadia universa 13,400, stadia 10,030.

11. SARMATIÆ EUROPÆÆ PERIPLUS.

Sarmatia quæ in Europa est definitur a septentrione quidem oceano Sarmatico juxta Venedicum sinum, et parte terræ incognitæ; ab oriente Isthmo et Byce palude et parte paludis Mæotidis usque Tanaïm fluvium, et deinceps fluvio ipso Tanaï, ac etiam parte [quæ extenditur] a fluvio Tanaï, usque ad incognitam terram;

γῆν· ἀπὸ δὲ δυσμῶν τῷ τε Οὐϊστούλᾳ ποταμῷ καὶ τῇ Γε
μανίᾳ τῇ μεγάλῃ μετὰ τὰ Σαρματικὰ ὄρη [1], καὶ αὐτοῖς τε
ὄρεσιν· ἀπὸ δὲ μεσημβρίας τοῖς τε Ἰάζυξι [2] τοῖς Μεταν
σταις ἀπὸ τοῦ νοτίου τῶν Σαρματικῶν ὀρῶν πέρατος μέχ
τῆς ἀρχῆς τοῦ Καρπάθου ὄρους, καὶ ἔτι τῇ Δακίᾳ μέχρι τε
τοῦ Βορυσθένους [3] ποταμοῦ ἐκβολῶν, καὶ τῇ ἀπὸ τούτου τ
Εὐξείνου Πόντου παραλίῳ μέχρι τοῦ μυχοῦ τοῦ Καρκινίτου
κόλπου. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη· τὰ δὲ κατ
μέρος τῆς Σαρματίας κεφαλαιωδέστερον [5] ἐτάξαμεν, μ
προσθέντες τῶν σταδίων τὸν ἀριθμὸν τῷ τὸν ἀκριβῆ περ
πλουν τοῦ ἀρκτικοῦ τούτου ὠκεανοῦ σχεδὸν ἄγνωστον τυ
χάνειν, πλησιάζοντος μὲν κατὰ τὰς ἄρκτους τῇ ἀγνώστ
γῇ, ᾗ ὑπέρκειται [6] τῆς Μαιώτιδος λίμνης, οὐ ῥᾳδίως [7] γν

[1] ὄρει cod. — [2] Ἰαζυξίτοις cod. — [3] τῶν Βορυσθένους τοῦ ποτ. cod. Huds. — [4] Καρκινείτου cod. — [5] κεφαλαιοδέστερον cod. — [6] τῇ ὑπέρκειτ cod. — [7] ἡ ῥαδίως cod. ἡ ῥαδίως Huds.

ab occasu vero Vistula fluvio et Germania magna po
montes Sarmaticos, et montibus ipsis; a meridie ve
Iazygibus Metanastis ab australi fine Sarmaticorum mo
tium usque ad principium Carpathi montis, atque etia
Dacia usque ad Borysthenis fluminis ostia, et hinc li
tore Ponti Euxini usque ad intimum recessum Ca
ciniti sinus. Ac generalis quidem circumscriptio hu
jusmodi est; loca autem particularia Sarmatiæ mag
summarie recensuimus, stadiorum numerum non ac
jicientes, quod fere incognitus sit accuratus peripl
septentrionalis hujus oceani, juxta septentriones quide
alluentis terram incognitam, qua superjacet palude

ῥιζομένη τῷ πλείστῳ μέρει τῶν ἀνθρώπων· μάλισθ' ὅτε [1] καὶ ὁ Πρωταγόρας παραλελοιπέναι τούτων τῶν σταδίων τὸν ἀριθμὸν δοκεῖ. Καὶ ἡ περιγραφὴ δὲ τῶν τόπων κατὰ μόνας τὰς ἐκβολὰς τῶν ποταμῶν ῥηθήσεται διὰ τὰς αὐτὰς αἰτίας. Μετὰ τὰς ἐκβολὰς τοῦ Οὐϊστούλα [2] ποταμοῦ, ἐκδέχονται τοῦ Χρόνου [3] ποταμοῦ ἐκβολαί· ἀπὸ δὲ τοῦ Χρόνου ποταμοῦ ἑξῆς εἰσὶ Ῥούβωνος [4] ποταμοῦ ἐκβολαί. Οὗτοι δὲ οἱ ποταμοὶ εἰς τὸν Οὐενεδικὸν [5] κόλπον ἐξίασιν [6]· ὅστις ἀπὸ τοῦ Οὐϊστούλα [7] ποταμοῦ ἄρχεται παρήκων ἐπὶ πλεῖστον. Ἀπὸ δὲ τοῦ Ῥούβωνος ποταμοῦ ἑξῆς εἰσὶ Τουρούντου [8] ποταμοῦ ἐκβολαί· ἀπὸ δὲ Τουρούντου ποταμοῦ ἐκδέχεται Χέσυνος [9] ποταμὸς, καὶ αἱ τούτου ἐκβολαί. Μετὰ δὲ τὸν Χέσυνον ποταμὸν, ὁ ἄγνωστος

[1] μάλιστα ὅτε Huds. — [2] Οὐάστουλα cod. — [3] Χρύνου τοῦ ποταμοῦ cod. et Huds. ut paulo post.— [4] Ῥουδῶνος cod. et Huds. ut lin. 9.— [5] Οὐελικνὸν cod. et Huds.— [6] ἐξῆσιν cod. et Huds. — [7] Ἰούστουλα cod. — [8] τοῦ Ῥούντου cod. ut lin. seq. — [9] Χεσύνος cod.

Mæotidem, plerisque hominum non facile exploratam : præsertim quando et Protagoras stadiorum istorum numerum omisisse videatur. Etenim hanc ipsam ob causam in locis describendis ostiorum solummodo fluminum mentionem faciemus. Post Vistulæ fluvii ostia sequuntur Chroni fluvii ostia; post Chronum vero fluvium deinceps sunt Rhubonis fluvii ostia. Hi fluvii exeunt in sinum Venedicum, qui a Vistula flumine incipit, in immensum extensus. Rhubonem fluvium subsequuntur Turuntæ fluvii ostia : Turuntam fluvium excipit Chesynus fluvius, ejusque ostia. Ultra vero Chesynum fluvium deinceps est hyperboreus et in-

καὶ ὑπερβόρειος [1] ἑξῆς ἐστὶν ὠκεανὸς συνάπτων τῇ ὑπερβορείῳ καὶ ἀγνώστῳ γῇ. Παροικοῦσι τὸν Χέσυνον ποταμὸν οἱ Ἀγαθυρσοὶ [2] τὸ ἔθνος τῆς ἐν Εὐρώπῃ Σαρματίας ὄντες. Καταφέρονται δὲ ὅ τε Χέσυνος ποταμὸς καὶ ὁ Τουρούντης ἐκ τῶν ὑπερκειμένων ὀρῶν, ἅτινα καλεῖται Ῥίπαια [3] ὄρη, κατὰ τὴν μεσόγειον, μεταξὺ τῆς Μαιώτιδος λίμνης καὶ τοῦ Σαρματικοῦ ὠκεανοῦ κείμενα. Ὁ δὲ Ῥούβων [4] ποταμὸς ἐκ τοῦ Ἀλαύνου [5] ὄρους φέρεται· παροικεῖ δὲ τό τε ὄρος καὶ τὴν χώραν ταύτην ἐπὶ πολὺ διῆκον τὸ τῶν Ἀλαύνων [6] Σαρματῶν ἔθνος, παρ' οἷς τοῦ Βορυσθένους ποταμοῦ τοῦ εἰς τὸν Πόντον ἐξιόντος αἱ πηγαὶ τυγχάνουσι. Τὴν δὲ περὶ τὸν Βορυσθένην χώραν παροικοῦσι μετὰ τοὺς Ἀλαύνους οἱ καλούμενοι Χουνοὶ [7], οἱ ἐν τῇ Εὐρώπῃ. Ἔστι δὲ τὸ μῆκος τῆς Σαρματίας

[1] ὑπερβόρειος cod. et mox ὑπερβορείῳ. — [2] Ἀγαθοσοὶ cod. et Huds. — [3] Ῥίπεα cod. — [4] Ῥούδων cod. et Huds. — [5] Ἀλαύνους cod. Ἀλάνου Huds. — [6] Ἀλανῶν cod. et Huds. et mox Ἀλανούς. — [7] Χοανοὶ Huds.

cognitus oceanus contiguus hyperboreæ et incognitæ terræ. Chesynum fluvium accolunt Agathyrsi, Sarmatiæ Europææ gens. Chesynus vero fluvius et Turuntes defluunt e montibus superjacentibus, qui Riphæi appellantur, in partibus mediterraneis, inter Mæotida paludem et oceanum Sarmaticum jacentes. Rhubon vero fluvius fertur ex Alauno monte; montem autem et regionem hanc longe extensam habitant Alauni Sarmatarum gens; ubi fontes sunt Borysthenis fluvii in Pontum exeuntis. Regionem circa Borysthenem post Alaunos habitant Chuni appellati, qui in Europa. Est autem Sarmatiæ longitudo stadiorum 7,700, latitudo

στάδια ζψ' · τὸ δὲ πλάτος στάδια ζχν'. Ἔχει ἔθνη νς' [1], πόλεις ἐπισήμους νγ', ὄρη ἐπίσημα Θ', ποταμοὺς ἐπισήμους δ', ἀκρωτήρια [2] ἐπίσημα γ', λιμένας ἐπισήμους γ', κόλπους ἐπισήμους δ', τόν τε Οὐενεδικὸν [3] τὸν εἰρημένον κόλπον, καὶ ἄλλους τρεῖς. Τῆς μὲν οὖν Εὐρώπης τῶν δεξιῶν μερῶν τὸν περίπλουν, ὥσπερ ὑπεσχόμεθα, μετὰ τῆς προσηκούσης [4] ἐπιμελείας πεποιήμεθα · μεταβησόμεθα δὲ ἐπὶ τὰς Βρεταννικὰς [5] νήσους.

ΠΕΡῚ ΤΩ͂Ν ΒΡΕΤΑΝΝΙΚΩ͂Ν ΝΉΣΩΝ.

Αἱ Βρεταννικαὶ νῆσοι δύο εἰσὶν, ἥ τε καλουμένη Ἀλβίων, καὶ ἡ Ἰουερνία [6]. Ἀλλ' ἡ μὲν Ἀλβίων μείζων [7] κατὰ πολὺ

[1] ἔθνη υς' Huds. — [2] ἀκρ. — κόλπ. ἐπ. δ' quæ quidem bis in codice, ob errorem librarii. — [3] Οὐενδικὸν cod. et Huds. — [4] προσειλκούσης cod. προσελκούσης Huds. — [5] Πρετανικὰς Huds. et sic ubique. — [6] Οὐερνία cod. — [7] μεῖζον cod.

stadiorum 7,650. Gentes habet 56, urbes insignes 53, montes insignes 9, fluvios insignes 4, promontoria insignia 3, portus insignes 3, sinus insignes 4, sinum [scilicet] Venedicum appellatum et alios tres. Periplum igitur dextrarum Europæ partium, ut polliciti sumus, debita cum cura atque diligentia fecimus : [nunc] autem ad insulas Britannicas transibimus.

12. DE INSULIS BRITANNICIS.

Insulæ Britannicæ duæ sunt, altera Albion appellata, altera Hibernia. Multo autem major est Albion; e regione

τυγχάνει· κεῖται δὲ καταντικρὺ τῆς Κελτογαλατίας, παρά τε τὴν Λουγδουνησίαν καὶ τὴν Βελγικὴν, μέχρι τῆς μεγάλης Γερμανίας ἐκτεινομένη. Οὐ γάρ ἐστι συνεστραμμένη καθάπερ αἱ ἄλλαι νῆσοι· ἀλλ' ὥσπερ διῃρημένη καὶ διεσπαρμένη, κατὰ πλείστου[1] μέρους διήκει τοῦ ἀρκτῴου ὠκεανοῦ, δύο μάλιστα μακροτάτους ἰσθμοὺς, ὥσπερ πόδας τινὰς ἔχουσα· ὧν ὁ μὲν μείζων, ὁ δὲ ἐλάττων μέχρι τῆς Ἀκυιτανίας διήκει. Ἡ δὲ ἑτέρα νῆσος ἡ Ἰουερνία ὑπὲρ αὐτὴν[2] κειμένη, δυτικωτέρα δὲ τυγχάνουσα, ἐλάσσων τέ ἐστι τῷ μεγέθει, καὶ τὴν ἴσην ἔχει θέσιν τῇ προειρημένῃ. Ταύτης τοίνυν τῆς προτέρας τὸν περίπλουν ἀναγράψομεν, εἶθ' οὕτως ἐπὶ τὴν μείζονα ἐλευσόμεθα.

[1] κατὰ πλήστον cod. — [2] αὐτὴν δὲ cod. et Huds.

vero Celtogalatiæ sita est, exporrecta contra [Galliam] Lugdunensem et Belgicam usque ad Germaniam magnam. Non enim conglobata est quemadmodum aliæ insulæ, sed veluti disjuncta et dispersa per maximam partem oceani septentrionalis extenditur, duos potissimum longissimos isthmos, veluti pedes quosdam habens, quorum unus quidem major, alter vero minor usque ad Aquitaniam porrigitur. Altera insula est Hibernia hanc superjacens, sed occidentalior et magnitudine minor est, et situm prædictæ similem habet. Hujus igitur prioris periplum perscribemus, deinde ad majorem procedemus.

ΙΟΥΕΡΝΙΑΣ ΝΗΣΟΥ ΒΡΕΤΑΝΝΙΚΗΣ ΠΕΡΙΠΛΟΥΣ.

Ἡ Ἰουερνία νῆσος ἡ Βρεταννικὴ περιορίζεται ἀπὸ μὲν τῶν ἄρκτων[1] τῷ ὑπερκειμένῳ καὶ καλουμένῳ Ὑπερβορείῳ[2] ὠκεανῷ· ἀπὸ δὲ ἀνατολῶν τῷ ὠκεανῷ τῷ καλουμένῳ Ἰουερνικῷ· ἀπὸ δὲ δυσμῶν τῷ δυτικῷ ὠκεανῷ· ἀπὸ δὲ μεσημβρίας τῷ καλουμένῳ Οὐεργιουΐῳ[3] ὠκεανῷ. Καὶ ἡ μὲν ὅλη θέσις τῆς νήσου τοῦτον ἔχει τὸν τρόπον. Ἔστι δὲ τῆς Ἰουερνίας νήσου τῆς Βρεταννικῆς τὸ μὲν μῆκος μέγιστον ἀπὸ τοῦ Νοτίου ἀκρωτηρίου ἀρχόμενον, καὶ καταλῆγον ἐπὶ τὸ Ῥοβόγδιον[4] ἄκρον· ὡς εἶναι τῆς νήσου τὸ μῆκος στάδια ϛρό. Τὸ δὲ πλάτος ἄρχεται μὲν ἀπὸ τοῦ αὐτοῦ ἄκρου, περαιοῦται δὲ εἰς τὸ Ῥοβόγδιον ἄκρον· ὡς εἶναι τῆς νήσου τὸ πλάτος στάδια ͵αωλδ'.

[1] ἄκρων Huds. — [2] Ὑπερβορίῳ cod. — [3] Οὐεργουΐῳ cod. et Huds. — [4] Ῥοβόνδιον cod.

15. HIBERNIÆ INSULÆ BRITANNICÆ PERIPLUS.

Ivernia [sive Hibernia] insula Britannica terminatur a septentrione quidem oceano Hyperboreo appellato : ab oriente vero oceano, qui vocatur Hibernicus : ab occidente oceano occidentali : a meridie vero oceano Vergivio dicto. Ac universus quidem insulæ situs ad hunc modum se habet. Est autem Hiberniæ insulæ Britannicæ longitudo quidem maxima a Notio promontorio incipiens, et ad Rhobogdium promontorium desinens : adeo ut insulæ longitudo sit stadiorum 2,170. Latitudo incipit quidem ab eodem promontorio, terminatur autem ad Rhobogdium promontorium : adeo

Τὰ δὲ ἄκρα αὐτῆς ἀπὸ τῶν ὀριζόντων διέστηκε τὸν τρόπον τοῦτον. Τὸ μὲν ἀρκτῷον αὐτῆς ἄκρον ἀπὸ τοῦ ἀρκτῴου ὀρίζοντος στάδια [1] α͵δσν'· τὸ δὲ δυτικὸν αὐτῆς ἄκρον ἀπὸ τῆς ἰσημερίας στάδια η͵τιζ'· τὸ δὲ ἀνατολικὸν ἄκρον, ἀπὸ τῆς ἀνατολῆς στάδια α͵τιζ' [2]. Ἔχει δὲ ἔθνη ις', πόλεις ἐπισήμους ια' [3], ποταμοὺς ἐπισήμους ιε', ἀκρωτήρια ἐπίσημα ε', νήσους ἐπισήμους ζ'. Οἱ πάντες τοῦ περίπλου τῆς νήσου τῆς Ἰουερνίας, οὐ πλεῖον [4] σταδίων ϑπε', οὐχ ἧττον σταδίων ϛωμε'.

ἈΛΒΊΩΝΟΣ ΝΉΣΟΥ ΒΡΕΤΑΝΝΙΚῆΣ ΠΕΡΊΠΛΟΥΣ.

Ἀκολούθως τοίνυν καὶ τῆς Ἀλβίωνος νήσου τὸν περίπλουν ἐκθήσομεν. Ἡ Ἀλβίων νῆσος ἡ Βρεταννικὴ περιορίζεται ἀπὸ

[1] στάδια... δσν' Huds. — [2] στάδια τιζ' Huds. — [3] ἕνδεκα cod. — [4] οὐ πλεῖστον Huds.

ut insulæ latitudo sit stadiorum 1,834. Ejus autem promontoria ab horizontibus distant ad hunc modum. Arcticum quidem ejus promontorium ab arctico horizonte stadia 14,250; occiduum vero ejus promontorium ab æquatore stadia 8,317; promontorium orientale ab ortu stadia 10,317. Habet autem gentes 16, urbes insignes 11, fluvios insignes 15, promontoria insignia 5, insulas insignes 6. Peripli insulæ Hiberniæ stadia universa non plura stadiis 9,085, non pauciora stadiis 6,845.

14. ALBIONIS INSULÆ BRITANNICÆ PERIPLUS.

Deinceps igitur et Albionis insulæ periplum exponemus. Albion insula Britannica terminatur a septen-

μὲν ἄρκτων τῷ ὠκεανῷ τῷ καλουμένῳ Δουηκαληδονίῳ [1] · ἀπὸ δὲ ἀνατολῶν τῷ Γερμανικῷ ὠκεανῷ· ἀπὸ δὲ δύσεως τῷ τε Ἰουερνικῷ ὠκεανῷ, μεθ' ὃν ἡ Ἰουερνία νῆσος· ἔτι μὴν καὶ τῷ Οὐεργιουίῳ ὠκεανῷ· ἀπὸ δὲ μεσημβρίας τῷ Βρεταννικῷ ὠκεανῷ καὶ ταῖς προειρημέναις τῆς Γαλλίας ἠπείροις καὶ ἔθνεσι. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τῆς νήσου τοῦτον ἔχει τὸν τρόπον. Ἐστι δὲ τῆς Ἀλβίωνος νήσου τῆς Βρεταννικῆς τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τοῦ δυτικοῦ ὁρίζοντος κατὰ τὸ Δαμνόνιον [2] ἄκρον, τὸ καὶ Ὄκρινον [3] καλούμενον, περαιούμενον δὲ ἕως Ταρουεδούνου [4] τῆς καὶ Ὀρκάδος καλουμένης ἄκρας· ὡς εἶναι τοῦ μήκους τοῦ μεγίστου στάδια ͵εσκε΄. Τὸ δὲ πλάτος αὐτῆς ἄρχεται μὲν κατὰ τὸ Δαμνόνιον ἄκρον, τὸ καὶ Ὄκρινον κα-

[1] Δουηκαλιδονίῳ cod. Δουκαληδονίῳ Huds. — [2] Δάμνιον cod. et Huds. itemque ambo lin. 12. — [3] Ὄκριον cod. et Huds. ut paulo post. — [4] Ταυροειδούνου cod. Ταυροεδούνου Huds.

trione quidem oceano, qui vocatur Deucaledonius : ab ortu oceano Germanico : ab occasu vero oceano Hibernico post quem insula [se offert] Hibernica, ac etiam oceano Vergivio : a meridie vero oceano Britannico, et prædictis Galliæ regionibus et provinciis. Ac universa quidem insulæ circumscriptio hunc in modum se habet. Longitudo autem Albionis insulæ Britannicæ incipit quidem ab occidentali horizonte juxta Damnonium promontorium, quod et Ocrinum nuncupatur; finitur vero ad Tarvedunum, quod et Orcas promontorium dicitur : adeo ut longitudo maxima sit stadiorum 5,225. Latitudo autem ejus incipit quidem juxta Damnonium, quod dicitur etiam Ocrinum promontorium;

λούμενον· καταλήγει δὲ εἰς τὴν τῶν Νουάντων[1] χερσόνησον καὶ τὸ ὁμώνυμον ἀκρωτήριον· ὡς εἶναι τοῦ πλάτους κατὰ τὴν μεγίστην γραμμὴν[2] στάδια ͵γπγ'. Ἔχει δὲ ἐν αὐτῇ ἔθνη λγ', πόλεις ἐπισήμους νθ', ποταμοὺς[3] ἐπισήμους μ', ἀκρωτήρια ἐπίσημα ιδ', χερσόνησον ἐπίσημον α'[4], κόλπους ἐπισήμους ε', λιμένας ἐπισήμους γ'. Οἱ πάντες τοῦ περίπλου παντὸς τῆς νήσου τῆς Ἀλβίωνος οὐ πλεῖον σταδίων[5] ͵βηχδ', οὐχ ἧττον σταδίων ͵βφκϛ'. Καὶ ὁ μὲν περίπλους τοῦ δυτικοῦ καὶ ἀρκτῴου ὠκεανοῦ τῶν παρὰ τὴν Εὐρώπην μερῶν, καὶ τῶν ἐν αὐτῷ Βρεταννικῶν νήσων ἐνταῦθα τὸ τέλος ἔχει. Ὥσπερ δὲ ἐν τῷ προτέρῳ βιβλίῳ τῶν μὲν παρὰ τὴν Λιβύην δεξιῶν μερῶν τοῦ Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσ-

[1] Νεουάντων cod. Νευάντων Huds.— [2] κατὰ τῆς μεγίστης γραμμῆς cod.— [3] πεταμοὺς Huds.— [4] χερσ. ἐπις. ἕνα cod. et Huds.— [5] στάδια ͵βηχδ' Huds.

desinit vero ad Novantum chersonesum, et ejusdem nominis promontorium : adeo ut latitudo ejus juxta maximam lineam sit stadiorum 3,083. Complectitur autem gentes 33, urbes insignes 59, fluvios insignes 40, promontoria insignia 14, chersonesum insignem 1, sinus insignes 5, portus insignes 3. Universa peripli totius Albionis insulæ stadia non plura 28,604, non pauciora stadiis 20,526. Atque hic quidem finem imponimus periplo partium occidentalis et septentrionalis oceani juxta Europam, itemque insularum in ipso Britannicarum. Sicuti autem in priori libro periplum capitulatim fecimus partium quidem dextrarum Arabici sinus et Rubri maris juxta Libyam, ac occidentalis

σης καὶ τοῦ δυτικοῦ ὠκεανοῦ τοῦ πρὸς τὴν μεσημβρίαν[1] ὁρῶντος τὸν περίπλουν ἐπὶ κεφαλαίων ἐποιησάμεθα, σαφηνείας ἕνεκα διὰ μακροῦ τὸν τῶν σταδίων ἀριθμὸν ἀποδόντες· τῶν δὲ παρὰ τὴν Ἀσίαν ἀριστερῶν ἀπάντων μερῶν μέχρι Σινῶν τοῦ ἔθνους καὶ τῆς ἀγνώστου γῆς ἀκριβῆ τὸν περίπλουν ἀνεγράψαμεν, τῶν διαστημάτων ἀπάντων τοὺς σταδίους σημάναντες· οὕτω κἀνταῦθα τῶν δεξιῶν μερῶν τοῦ ὠκεανοῦ τοῦ παρὰ τὴν Εὐρώπην ὄντος ἀπὸ τῶν Ἡρακλείων στηλῶν μέχρι τῆς ἀγνώστου γῆς, καὶ τοῦ παρ' αὐτὴν περατουμένου Σαρματικοῦ ὠκεανοῦ, καὶ προσέτιγε τῶν Βρεταννικῶν νήσων εἰς δύναμιν τὸν περίπλουν πεποιήμεθα, προσθέντες καὶ τῶν σταδίων ἀριθμόν[2]. Τῶν δὲ ἀριστερῶν τῇ Λιβύῃ μερῶν τοῦ δυτικοῦ. . . . .

Λείπει μέχρι τοῦ τέλους.

[1] πρὸς μεσημβρίαν Huds. — [2] ἀριθμὸν τῶνδε ἀρ. Huds.

oceani ad meridiem spectantis, perspicuitatis ergo stadiorum numerum distantiarum longiorum exprimentes; quinetiam et partium omnium sinistrarum juxta Asiam, usque ad Sinarum gentem et terram incognitam, periplum accuratum perscripsimus, omnium [etiam] distantiarum stadia indicantes : ita et hic quoque dextrarum partium oceani Europam alluentis, ab Herculeis columnis ad terram incognitam, et oceani Sarmatici juxta ipsam terminati, præterea et insularum Britannicarum, periplum pro virili fecimus, adjicientes etiam stadiorum numerum. Sinistrarum vero Libyæ partium juxta oceanum occidentalem. . . . .

Reliqua desunt usque ad finem.

TEMAXION[1]

ΤΗΣ ἘΠΙΤΟΜΗΣ ΤΩΝ ΙΑ' ΒΙΒΛΙΩΝ

ΑΡΤΕΜΙΔΩΡΟΥ ΤΟΥ ΕΦΕΣΙΟΥ[2].

τὸ Κάννων ἤτοι Ἀτταίας μέχρι Ἀδραμυτίου παράπλους.
Πόλεων[3] κατὰ γῆν διαστήματα.
Ἀπὸ Ἀδραμυτίου μέχρι Λεκτοῦ παράπλους.
Τρῳάδος μέχρι Σιγείου περίπλους.

ἈΜΦΙΘΑΛΙῼ ΕΥ̓ ΠΡΑΤΤΕΙΝ[4].

Οἱ τοῖς[5] συγγράμμασι τῶν παλαιῶν ἀβασανίστως ἐντυγχάνοντες, ἢ μὴ διαγινώσκειν ἐπιστάμενοι λόγου τε ἀρετὴν

[1] Τεμμάχιον cod. et Huds. — [2] Hunc titulum non habet cod. qui incipit : τὸ Κάννων, littera A omissa a rubricatore. — [3] παράπλους· πόλεων Huds. qui supplevit καὶ ante πόλεων. — [4] Hanc inscriptionem omis. Huds. — [5] ἰ τοῖς (littera O omissa) cod.

FRAGMENTUM

EPITOMES

UNDECIM LIBRORUM ARTEMIDORI EPHESII.

A Cannis sive Attæa usque Adramytium paraplus.
Urbium per terram distantiæ.
Ab Adramytio usque Lectum paraplus.
Troadis usque Sigeum periplus.

AMPHITHALIO SALUTEM.

Qui veterum scripta perfunctorie legunt, aut orationis vim et sententiarum consequentiam dijudicare

καὶ νοημάτων ἀκολουθίαν, πολλὴν παρέσχον, ὡς ἔοικεν, ἄδειαν τοῖς συγγράφειν ἁπλῶς καὶ ὡς ἔτυχε βουλομένοις. Τοὺς μὲν οὖν ἄλλους ἑτέροις ἐξετάζειν καταλιμπάνω, οἳ τῆς[1] ἡμετέρας κρίσεως δι' ἀκριβῆ παίδευσιν πλέον τοῦτο ποιεῖν ἐπίστανται. Οἱ δὲ τοὺς περίπλους προχείρως[2] γράψαντες, καὶ τοὺς ἐντυγχάνοντας πείθειν ἐθέλοντες[3], τόπων τε προσηγορίας καὶ σταδίων ἀριθμὸν δεξιόντες, καὶ ταῦτα ἐπὶ χωρίων[4] ἢ ἐθνῶν βαρβάρων, ὧν οὐδὲ τὰς προσηγορίας εἰπεῖν δύναιτο ἄν τις, αὐτόν μοι δοκοῦσι τὸν Βεργαῖον Ἀντιφάνη νενικηκέναι τῷ ψεύδει. Ὅσοι μὲν γὰρ μερικάς τινας ἐποιήσαντο περίπλων διηγήσεις, ὧν καὶ τὰ χωρία σαφῶς ἐγίνωσκον, καὶ τὴν ἀναμέτρησιν τῆς θαλάττης οὐκ ἠγνόουν,

[1] οἱ τῆς Huds. — [2] προχειρίσεως Huds. — [3] ἐθέλοντας cod. et Huds. — [4] ἐπιχωρίων Huds.

nesciunt, plurimum, ut videtur, audaciæ illis addiderunt, qui vulgari modo et temerario volunt scribere. [Horum] alios quidem aliis ad examen vocandos relinquo, qui ex accurata institutione ad hoc agendum plus nobis judicio valent rerumque scientia. Qui vero periplos temere scripserunt, et lectoribus persuadere volunt, locorum nomina et stadiorum numerum percurrentes, idque in regionibus et gentibus, quarum ne nomina quidem dicere quis potest, mihi videntur ipsum Antiphanem Bergæum falsitate superasse. Quotquot autem particulares quasdam fecerunt periplorum narrationes, quorum et loca plane explorata habuerunt, marisque dimensionem non ignorarunt, et urbium et

καὶ πόλεις καὶ λιμένας καὶ τὰ διαστήματα τούτων καταμαθόντες· οὗτοι δοκοῦσιν ἢ παντάπασι πλεῖστα μετὰ τῆς ἐνδεχομένης ἀληθείας ἐγγεγραφέναι. Ὅσοι δὲ ἢ τοῖς ἀπαγγείλασιν ἅπερ οὐκ ἐθεάσαντο πιστεύσαντες, ἢ τοῖς συγγράψασιν [1] ἅπερ ἀκριβῶς [2] οὐκ ἔγνωσαν ἀκολουθήσαντες, ἐκλογιστίας [3] περίπλων τῆς οἰκουμένης ἐποιήσαντο, οὗτοι δῆλον ὡς οὐχ ἑαυτοὺς μόνους ἠπάτησαν, ἀλλὰ καὶ τοὺς πεισθέντας τοῖς ὑπ' αὐτῶν συγγραφεῖσι. Γράφω δὲ ταῦτα, πολλοῖς μὲν ἐντυχὼν περίπλοις, πολὺν δὲ περὶ τὴν τούτων εἴδησιν [4] ἀναλώσας χρόνον. Χρὴ τοίνυν ὅσοι παιδεύσεως ἐντὸς κατέστησαν, τούτων ἐξετάζειν τὰς τοιαύτας φιλομαθείας [5], ὡς μήτε προχείρως πιστεύειν τοῖς λεγομένοις, μήτε ἄπιστον τὴν οἰκείαν γνώμην

[1] συγγράψασιν Huds. — [2] ἀκριβῶς omis. Huds. — [3] ἐκλογιστιαίας cod. et Huds. — [4] ἴδησιν cod. et Huds. — [5] τὰς φιλομαθίας τοιαύτας Huds.

portuum ac eorumdem distantiarum notitiam assequuti, illi videntur plurima usquequaque cum probabili veritate scripsisse. Quotquot vero narrantium quæ non viderunt fidem sequuti, et scribentium quæ non accurate cognoverunt auctoritate nixi, catalogos confecerunt periplorum terræ habitabilis; manifestum eos non semet solum decepisse, sed et alios iis quæ composuerunt persuasos. Hæc autem scribo, multos quidem pervolvens periplos, et in iis perspiciendis plurimum temporis impendens. Oportet igitur examinent, quicumque eruditione non leviter imbuti sunt, eorum in hujusmodi disciplinis peritiam, ut neque temere credant dictis, neque proprias suspectæque fidei opiniones illorum

ἔμπροσθεν τῆς ἐκείνων φροντίδος ποιουμένους. Ταύτους δὴ ἀκριϐέστερον ἐπισκοπήσομεν. Οἱ γὰρ δὴ δοκοῦντες ταῦτα μετὰ λόγων ἐξητακέναι, Τιμοσθένης ὁ Ῥόδιός ἐστιν, ἀρχικυϐερνήτης τοῦ δευτέρου [1] Πτολεμαίου γεγονὼς, καὶ μετ' ἐκεῖνον Ἐρατοσθένης, ὃν Βῆτα ἐκάλεσαν οἱ τοῦ Μουσείου [2] προστάντες. Πρὸς δὲ τούτοις Πυθέας τε ὁ Μασσαλιώτης, καὶ Ἰσίδωρος ὁ Χαρακηνὸς, καὶ Σώσανδρος ὁ κυϐερνήτης, τὰ κατὰ τὴν Ἰνδικὴν γράψας, Σιμμέας τε ὁ τῆς οἰκουμένης ἐνθεὶς τὸν περίπλουν. Ἔτι μὴν Ἀπελλᾶς ὁ Κυρηναῖος, καὶ Εὐθυμένης [3] ὁ Μασσαλιώτης, καὶ Φιλέας ὁ Ἀθηναῖος, καὶ Ἀνδροσθένης ὁ Θάσιος [4], καὶ Κλέων ὁ Σικελιώτης, Εὔδοξός [5] τε ὁ Ῥόδιος, καὶ Ἄννων [6] ὁ Καρχηδόνιος· οἱ μὲν μερῶν τινων,

[1] ἀρχικυϐερνίτης τοῦ δευτεραίου cod. — [2] Μουσίου cod. — [3] Εὐθυμόνης cod. in quo prius erat Εὐθυμάνης. Εὐθυμάνης Huds. — [4] Ἰάσιος cod. et Huds. — [5] Εὐδόξιος cod. et Huds. — [6] Ἄννων cod.

curæ et diligentiæ opponant. Hos sane [et nos] magis accurate considerabimus. Qui igitur in hæc cum ratione inquisivisse videntur, sunt, Timosthenes Rhodius, qui præcipuus gubernator fuit secundi Ptolemæi, et post eum Eratosthenes, quem Beta nuncupant præfecti [Alexandrinæ] bibliothecæ. Præter hos vero et Pytheas Massiliensis, Isidorus Characenus, Sosander gubernator qui res Indicas scripsit, Simmeas qui orbis universi periplum composuit. Præterea etiam Apellas Cyrenæus, Euthymanes Massalitanus, Phileas Atheniensis, Androsthenes Thasius, Cleon Siculus, Eudoxus Rhodius, Hanno Carthaginiensis : horum quidem nonnulli partium quarumdam, alii vero totius

οἱ δὲ τῆς ἐντὸς πάσης θαλάσσης, οἱ δὲ τῆς ἐκτὸς περίπλουν ἀναγράψαντες· οὐ μὴν ἀλλὰ καὶ Σκύλαξ ὁ Καρυανδεὺς[1], καὶ Βοτθαῖος. Οὗτοι δὲ ἑκάτεροι διὰ τῶν ἡμερησίων μηκῶν[2] οὐ διὰ τῶν σταδίων τὰ διαστήματα τῆς θαλάσσης ἐδήλωσαν. Καὶ ἕτεροι δὲ πλείους εἰσὶν, οὓς περιττὸν οἶμαι καταριθμεῖν. Μετὰ δὴ τούτων τοὺς πλείστους Ἀρτεμίδωρος ὁ Ἐφέσιος γεωγράφος καὶ Στράβων γεωγραφίαν ὁμοῦ καὶ περίπλουν συντεθεικότες, Μένιππός τε ὁ Περγαμηνὸς[3] διάπλους γράψας, ἀκριβέστεροι[4] δοκοῦσι πάντων τῶν προειρημένων τυγχάνειν. Περὶ ὧν διελθεῖν ἀναγκαῖον, ὡς ἂν μηδὲν ἀγνοήσαιεν οἱ περὶ τοῦτο τὸ μέρος τῆς γεωγραφίας σπουδάζοντες. Τιμοσθένης μὲν γὰρ, ἔτι τῶν πλείστων τῆς θαλάσσης ἀγνοου-

[1] Καρυάνδους καὶ Βωτταῖος cod.— [2] ἤχων cod. et Huds.— [3] Περγαμινὸς cod. — [4] ἀκριβέστερον cod. et Huds.

maris interioris, alii etiam maris exterioris periplum conscripserunt; quinetiam et Scylax Caryandensis, et Botthæus. Uterque autem horum dierum [noctiumque] spatiis, non stadiis distantias per mare indicarunt. Atque alii etiam non pauci sunt, quos enumerare supervacaneum esse arbitror. Post horum equidem plurimos Artemidorus Ephesius geographus, et Strabo, qui geographiam simul et periplum composuerunt, et Menippus Pergamenus transjectuum maritimarum scriptor, omnibus prius memoratis accuratiores esse videntur. De quibus [aliquid] disserere necesse est, ut nihil prorsus ignorent, qui sese in hac geographiæ parte exercent. Nam Timosthenes, plurimis etiamtum maris par-

μένων μερῶν, τῷ Ῥωμαίους μηδέπω πολέμῳ κεκρατηκέναι τούτων, περὶ νήσων συγγράψας βιβλία, οὐ πᾶσιν ἀκριβῶς ἐπεξῆλθε τοῖς ἔθνεσι τοῖς τῇ καθ' ἡμᾶς παροικοῦσι θαλάττῃ. Ἀμέλει τῆς μὲν Εὐρώπης τὸ Τυῤῥηνικὸν πέλαγος ἀτελῶς περιέπλευσε, τὰ δὲ περὶ τὸν Ἡράκλειον πορθμὸν οὔτε τῆς καθ' ἡμᾶς οὔτε τῆς ἔξω θαλάττης ἴσχυσε γνῶναι. Ταὐτὰ δὲ καὶ κατὰ τὴν Λιβύην πέπονθεν, ἀπὸ τῆς Καρχηδόνος πάντας τοὺς ἐπέκεινα περὶ τὸν Ἡράκλειον πορθμὸν, περί τε τὴν ἔξω θάλασσαν ἀγνοήσας τόπους. Τούτων δὲ τῶν ι' βιβλίων ἐπιτομὴν ἐν ἑνὶ πεποίηται βιβλίῳ· εἶτ' ἐν ἑτέρῳ πάλιν ἑνὶ τῶν καλουμένων σταδιασμῶν ἐπιδρομήν τινα συνέγραψεν. Ἐν ἅπασι δὲ τούτοις οὐδὲν τέλειον, οὐδὲ σαφὲς ἀπαγγεῖλαι δεδύνηται. Ἐρατοσθέ-

tibus non detectis, quo bello in Romanorum ditionem nondum erant redactæ, de insulis libellos conscribens, non omnes accurate percensuit gentes mare nostrum accolentes. Scilicet in Europa quidem maris Tyrrhenici periplum non absolvit : quæ vero circa fretum Herculeum, aut mare nostrum spectantia aut exterius, ne cognoscere quidem potuit. Eadem ipsa et circa Africam admisit, ignarus locorum omnium, Carthagine ulteriorum, ad fretum Herculeum et mare exterius [jacentium]. Hos vero decem libros in epitomen unius libri redegit : dein et in alio rursus uno stadiasmos appellatos, [sive dimensiones terræ per stadia], breviter complexus est. In his omnibus nihil perfectum admodum, nihil clarum et perspicuum proferre potuit. Eratosthenes autem Cyrenæus, nescio qua ra-

νης δὲ ὁ Κυρηναῖος, οὐκ οἶδα τί παθὼν, τὸ Τιμοσθένους μετέγραψε βιβλίον, βραχέα τινὰ προσθείς· ὡς μηδὲ τοῦ προοιμίου τοῦ μνημονευθέντος ἀποσχέσθαι, ἀλλ' αὐταῖς λέξεσι κἀκεῖνο τοῦ οἰκείου προθεῖναι συγγράμματος. Ὅμοια δὲ τούτοις καὶ οἱ ἄλλοι πεπόνθασιν, ἀσαφεῖς καὶ πεπλανημένας τὰς ἐκδόσεις ποιησάμενοι. Ἀρτεμίδωρος δὲ ὁ Ἐφέσιος γεωγράφος κατὰ τὴν ἑκατοστὴν ἑξηκοστὴν ἐννάτην [1] Ὀλυμπιάδα γεγονὼς, τὸ δὲ πλεῖστον μέρος τῆς ἐντὸς καὶ τῆς καθ' ἡμᾶς [2] τυγχανούσης θαλάττης ἐκπεριπλεύσας, θεασάμενος δὲ καὶ τὴν νῆσον τὰ Γάδειρα, καὶ μέρη τινὰ τῆς ἐκτὸς θαλάττης [3], ἣν Ὠκεανὸν καλοῦσι, τῆς μὲν ἀκριβοῦς γεωγραφίας λείπεται. Τὸν δὲ περίπλουν τῆς ἐντὸς Ἡρακλείου πορθμοῦ θαλάσσης, καὶ τὴν ἀναμέτρησιν ταύτης μετὰ τῆς προσηκούσης ἐπιμε-

[1] κατὰ τὴν ρξθ' Huds.— [2] καὶ καθ' ἡμᾶς cod. et Huds.; τῆς ex Hœschelio supplevi. — [3] θαλάσσης Huds.

tione motus, Timosthenis librum [totum] transcripsit, pauca quæpiam adjiciens; adeo ut ne procemio quidem supradicti [auctoris] abstinuerit, sed iisdem verbis illud operi suo præposuerit. Similia his et alii plerique admisere, descriptiones obscuras et errorum plenas divulgantes. Artemidorus vero Ephesius geographus, qui floruit quidem circa centesimam sexagesimam nonam Olympiadem, maximam sane partem maris interioris nostrique circumnavigavit, atque etiam in conspectum provectus est insulæ Gadium, et partium quarumdam maris exterioris, quod Oceanum appellant, a laude quidem geographiæ accuratæ longe abest. Periplum autem maris intra fretum Herculeum, ejusdemque dimensio-

λείας ἐν ἕνδεκα διεξῆλθε βιβλίοις, ὡς σαφέστατον καὶ ἀκριβέστατον περίπλουν τῆς καθ' ἡμᾶς ἀναγράψαι θαλάττης [1]. Μένιππος δὲ ὁ Περγαμηνὸς, ὃς [2] καὶ αὐτὸς τῆς ἐντὸς θαλάττης περίπλουν ἐν τρισὶν ἤθροισε βιβλίοις, ἱστορικήν τινα καὶ γεωγραφικὴν ἐποιήσατο τὴν ἐπαγγελίαν. Ἐγὼ τοίνυν πάντων τῶν μνημονευθέντων προκρίνας Ἀρτεμίδωρον τὸν Ἐφέσιον, ἐπιτομὴν τῶν ἕνδεκα βιβλίων τοῦ μνημονευθέντος ἐποιησάμην, προσθεὶς καὶ ἐξ ἑτέρων παλαιῶν τὰ ἐλλείποντα· καὶ τὴν διαίρεσιν τῶν ια βιβλίων φυλάξας, ὡς μετρίαν μὲν γεωγραφίαν, τελεώτατον [3] δὲ περίπλουν ἀπεργάσασθαι. Θεασάμενος δὲ τοὺς πλείστους τῶν παλαιῶν ἢ μὴ δ' ὅλως, ἢ ἐπ' ὀλίγον τῆς ἔξω θαλάσσης μνήμην ποιησαμένους, καὶ ταύτην

[1] θαλάσσης Huds. ut lin. seq. — [2] ὃς omiser. cod. et Huds. — [3] τελεώτατον Huds.

nem, ea quæ par est cura, in undecim libris persequutus est : adeo ut periplum nostri maris clarissimum et accuratissimum descripsisse videatur. Menippus vero Pergamenus, [qui] ipse quoque interioris maris periplum tribus in libris complexus est, narrationem quamdam historicam simul et geographicam faciens. Ego igitur Artemidorum Ephesium cæteris omnibus jam memoratis præferens, undecim viri supradicti librorum epitomen feci, paucis quæ desiderantur ex veterum aliis adjectis, servataque divisione undecim librorum, adeo ut geographiam quidem mediocrem, perfectissimum tamen periplum exhibiturus sim. Quum autem viderim veterum plerosque aut nullam omnino, aut leviorem saltem maris exterioris mentionem fecisse, eamque obscuram admo-

ἀμυδρὰν καὶ τῆς ἀληθείας ἀπᾴδουσαν· ἰδίαν ἐμαυτοῦ φροντίδα θέμενος τοῦ ὠκεανοῦ τοῦ ἑῴου τε καὶ μεσημβρινοῦ παντὸς, ἑκατέρων τῶν ἠπείρων τῆς τε Λιβύης καὶ τῆς Ἀσίας, ἀπὸ τοῦ Ἀραβίου κόλπου μέχρι τῶν Σινῶν τοῦ ἔθνους, οὐ μὴν ἀλλὰ καὶ τοῦ ἑσπερίου καὶ τοῦ ἀρκτῴου [1] ὠκεανοῦ, τῶν τε τῆς Εὐρώπης τῶν τε τῆς Λιβύης μερῶν, τὸν περίπλουν ἐν δυσὶ βιβλίοις συνέγραψα. Καταμαθὼν δὲ καὶ Μένιππον μετρίαν μέν τινα τοῖς ἐντυγχάνουσιν ἐκ τῶν οἰκείων βιβλίων παρεχόμενον εἴδησιν, μὴ πᾶσι δὲ ἀκριβῶς ἐπεξελθόντα, τὰ ἐλλείποντα πλεῖστα ὄντα προσθεὶς, καὶ προσέτι γε τὴν περὶ τόπους καὶ τὰς διαιρέσεις τῶν ἐθνῶν σαφήνειαν, ἥτις τὸ τέλειον τῆς γνώσεως τοῖς ἐντυγχάνουσι παρέχειν εἴωθε, τὴν ἔκδοσιν τῶν τριῶν βιβλίων ἐποιησάμην, οὐκ ἀφελόμενος

[1] καὶ ἀρκτῴου cod.

dam, et a veritate prorsus alienam; propria [quidem] cura et diligentia, totius oceani orientalis et meridionalis, utriusque continentis Africæ et Asiæ, a sinu Arabico usque ad Sinarum gentem, quinetiam et oceani occidentalis et septentrionalis, partiumque Europæ et Africæ periplum duobus in libris conscripsi. Quum autem deprehenderim et Menippum lectoribus mediocrem quidem aliquam suis e libris [locorum] notitiam exhibere, neutiquam vero omnia diligenter persequi; [ipse] quæ desiderari visa sunt plurima addens, insuper et perspicuitatem, quæ legentibus perfectam cognitionem parare solet, in locorum [descriptione] gentiumque divisione, trium ejusdem librorum editionem

τῆς προσηγορίας τὸν πατέρα τούτων, οὐδὲ εἰς ἐμαυτὸν μεταστήσας τοὺς ἀλλοτρίους πόνους, ὥσπερ οὐδὲ τοῦ πᾶσι πεφροντισμένως[1] ἐπεξελθόντος Ἀρτεμιδώρου· ἀλλὰ τὰς μὲν ἐκείνων προσηγορίας ἐπιγράψας τοῖς βιϐλίοις, ὡς ἂν μηδὲν εἰς τοὺς λογίους ἁμαρτάνειν δοκοίην Θεοὺς, τὰς δὲ τούτων ἐπιτομὰς καὶ διορθώσεις τῶν ἐμαυτοῦ ποιησάμενος πόνων ἐναργὲς γνώρισμα, ὥστε τοὺς ἐντυγχάνοντας μηδὲν μήτε τῶν παρ' ἐκείνων συγγραφέντων, μήτε τῶν παρ' ἡμῶν προστεθέντων, ἢ διορθώσεως ἐπιμελοῦς ἀξιωθέντων[2] ἀγνοῆσαι. Περὶ δὲ τῆς διαφωνίας τῶν σταδίων εἴρηται μέν μοι καὶ ἐν τῷ προτέρῳ βιϐλίῳ, ἐν ᾧ τὸν περίπλουν τοῦ ἑῴου παντὸς ὠκεανοῦ πεποίημαι. Κωλύει δὲ οὐδὲν καὶ νῦν ἐπὶ κεφαλαίῳ

[1] πεφροντισμένος Huds. — [2] ἀξιολόγων Huds.

ſeci, auctori eorum nequaquam nominis honorem eripiens, neque in meum ipsius [nomen] aliorum labores transferens, sicuti neque Artemidori [nomen in epitome ejusdem suppressi] qui accurate omnia persequutus est; sed illorum quidem nomina libris præfigens, ut nihil peccare videar in deos sermonis præsides, atque eorumdem epitomas et emendationes proprii laboris luculentum faciens argumentum; ut nec lectores aliqua ab iis prodita, neque aliqua a nobis adjecta, aut accurata correctione digna laterent. De stadiorum [in dimetiendis locorum intervallis] diversitate jam dictum est in priore libro, in quo periplum composui totius oceani orientalis. Nihil vero obstat quominus impræsentiarum [idem] summarie percurram. Universi, ut

διεξελθεῖν. Πάντες, ὡς εἰπεῖν, ὅσοι περίπλους ἔγραψαν, περὶ μὲν τὰς πόλεις καὶ τὰ χωρία, καὶ λιμένας, καὶ νήσους, ἢ οὐδὲν ὅλως, ἢ βραχέα τινὰ, καὶ ῥᾳδίας τῆς διορθώσεως ἀξιωθῆναι δυνάμενα διεφώνησαν· περὶ δὲ τὸν ἀριθμὸν τῶν σταδίων τῶν αὐτῶν πόλεων, καὶ νήσων, καὶ λιμένων, πολλήν τινα διαφορὰν ἐποιήσαντο. Τῶν μὲν οὖν κόλπων καὶ τῶν ἀκρωτηρίων ἡ διαφωνία σαφής. Οἱ μὲν γὰρ πλησίον τῆς ἠπείρου τοὺς κόλπους καὶ τὰ ἀκρωτηρία περιέπλευσαν, οἱ δὲ ποῤῥωτέρω [1], καὶ διὰ τοῦτο ἢ πλέονας ἢ ἐλάττονας περιέπλευσαν σταδίους. Τοῦ δὲ ἐπ' εὐθείας γινομένου πλοῦ οὐκ ἄν τις ῥᾳδίως εἴποι τὰς αἰτίας, εἰ μὴ ἄρα τῷ τάχει τοῦ σκάφους, ἢ τῷ βράδει ἀναθῆναι τὸ πταῖσμα βουληθείη. Ὡμολογημένον [2] γὰρ τοῦθ' ὅτι ἑπτακοσίους οὐριοδρομοῦσα ναῦς

[1] πορωτέρω cod. — [2] ὡμολογημένου cod.

